# ΑΚΟΛΟΥΘΙΑ
## ΤΗΣ ΑΓΙΑΣ ΕΝΔΟΞΟΥ ΒΑΣΙΛΙΣΣΗΣ
## ΚΑΙ ΙΣΑΠΟΣΤΟΛΟΥ

# ΟΛΓΑΣ

## ΤΗΣ ΕΙΣΑΓΑΓΟΥΣΗΣ ΤΟΝ ΧΡΙΣΤΙΑΝΙΣΜΟΝ
## ΕΝ ΡΩΣΣΙΑ,

**ΨΑΛΛΟΜΕΝΗ ΤΗ ΙΑ.΄ ΙΟΥΛΙΟΥ.**

ΣΥΝΤΕΘΕΙΣΑ

ΥΠΟ

**ΝΙΚΟΛΑΟΥ Π. ΑΒΟΥΡΗ** τ. θ.

**Ἱερέως**

«Σοφαὶ γυναῖκες ᾠκοδόμησαν οἴκους»
(Παροιμ. ιδ.΄1.)

ΕΝ ΖΑΚΥΝΘΩ,
Τύποις Νικολάου Κοντόγιωργα
1904

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ

Τῷ ἀγαπητῷ μοι Κυρίῳ Δημ. Κονεμένῳ

[illegible]

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΗΣ ΑΓΙΑΣ ΕΝΔΟΞΟΥ ΒΑΣΙΛΙΣΣΗΣ ΚΑΙ ΙΣΑΠΟΣΤΟΛΟΥ

# ΟΛΓΑΣ

## ΤΗΣ ΕΙΣΑΓΑΓΟΥΣΗΣ ΤΟΝ ΧΡΙΣΤΙΑΝΙΣΜΟΝ ΕΝ ΡΩΣΣΙΑ,

**ΨΑΛΛΟΜΕΝΗ ΤΗι ΙΑ.΄ ΙΟΥΛΙΟΥ.**

**ΣΥΝΤΕΘΕΙΣΑ**

ΥΠΟ

**ΝΙΚΟΛΑΟΥ Π. ΑΒΟΥΡΗ**

**Ἱερέως**

«Σοφαὶ γυναῖκες ᾠκοδόμησαν οἴκους»
(Παροιμ. ιδ.΄ 1.)

ΕΝ ΖΑΚΥΝΘΩι
Τύποις Νικολάου Κοντόγιωργα
1904

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ

ΤΗι ΣΕΠΤΗι

ΤΩΝ ΕΛΛΗΝΩΝ ΑΝΑΣΣΗι

# ΟΛΓΑι

ΤΟ ΠΑΡΟΝ ΠΟΝΗΜΑ ΕΝ Ωι ΕΞΥΜΝΕΙΤΑΙ

Η ΟΜΩΝΥΜΟΣ ΑΥΤΗι ΑΓΙΑ

ΜΕΤΑ ΣΕΒΑΣΜΟΥ

ΑΝΑΤΙΘΗΣΙΝ

Ο ΠΟΝΗΣΑΣ.

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ

# ΑΝΑΚΤΟΡΑ

ΕΝ ΑΘΗΝΑΙΣ τῇ 17 Μαρτίου 1904.

Ἀριθ. 96.

**Εὐλαβέστατε Πάτερ,**

**Ἡ Α. Μ. ἡ Βασίλισσα** λαβοῦσα γνῶσιν τῆς αἰτήσεως Ὑμῶν, εὐδοκοῦσα μὲ διέταξεν ὅπως γνωρίσω Ὑμῖν ὅτι εὐμενῶς ἀποδέχεται τὴν ἀφιέρωσιν τῆς Ἀκολουθίας τῆς Ἁγίας Ὄλγας συγγραφείσης ὑφ' Ὑμῶν.

**Μετὰ** πάσης τιμῆς

Ὁ κλειδοῦχος τῆς **Α. Μ.** τῆς **Βασιλίσσης**

**Α. ΜΕΣΣΑΛΑΣ.**

Τῷ Εὐλαβεστάτῳ Πρεσβυτέρῳ

**Κυρίῳ Νικ. Π. Ἀβούρῃ**

Ἐφημέριον τοῦ Ναοῦ τῶν Ἁγίων Πάντων

Ζάκυνθον.

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ

ΤΗι ΙΑ.' ΤΟΥ ΜΗΝΟΣ ΙΟΥΛΙΟΥ

ΜΝΗΜΗ ΤΗΣ ΑΓΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ

# ΟΛΓΑΣ ΤΗΣ ΙΣΑΠΟΣΤΟΛΟΥ

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

**Μετὰ τὸν Προοιμιακόν**, στιχολογοῦμεν ὡς συνήθως τὴν α.' στάσιν τοῦ «**Μακάριος ἀνήρ**». **Εἰς δὲ τὸ** «**Κύριε ἐκέκραξα**» ἱστῶμεν στίχους **6**, καὶ ψάλλομεν τὰ ἑπόμενα

**Στιχηρὰ προσόμοια**

**Τῆς Ἁγίας.**

Ἦχος δ.' «Ἔδωκας σημείωσιν».

Ἔδειξας φιλάνθρωπε, τὴν εὐδοκίαν σου πάντοτε· ὡς γὰρ πάλαι ἀνήγειρας, τρανῶς ἰσαπόστολον, τὸν Ἑλένης γόνον, οὕτω νῦν τοῖς

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ

Ρώσσοις, ἀναδεικνύεις θαυμαστῶς, τὴν μακαρίαν Ὄλγαν μακρόθυμε· δι' ἧς εἰς τὴν ἐπίγνωσιν, τῆς ἀληθείας ἐπέστρεψαν, καὶ λατρεύουσιν ἔκτοτε τὴν Τριάδα τὴν ἄκτιστον.

Σκεῦος ἱερώτατον, καὶ καθαρὸν ἐξελέξατο, ὁ Δεσπότης τῆς κτίσεως, σὲ τὴν ὑπερθαύμαστον, ὅπως σαγηνεύσῃ, καὶ καθοδηγήσῃ, εἰς τὴν θρησκείαν τοῦ φωτός, τὴν Ρώσσων χώραν τὴν πανευδαίμονα. Διό σε μακαρίζομεν, περιχαρῶς ἀνακράζοντες· ὑπὲρ πάντων ἱκέτευε, τῶν τιμώντων σε πάνσεμνε.

Πόθῳ καὶ ἀγάπῃ τε, τῇ τοῦ Χριστοῦ παναοίδιμε, ἑλκυσθεῖσα πανεύφημε, ἐγκαίρως ἐννόησας, ἅπασαν τὴν πλάνην, τῶν εἰδώλων Ὄλγα· διὸ ἀπῆλθες ἐν σπουδῇ, εἰς Νέαν Ρώμην ἀειμακάριστε· ἐκεῖ δὲ τοῦ Βαπτίσματος, ἀξιωθεῖσα ἐπέστρεψας, εἰς Ρωσσίαν κηρύττουσα, τὸν Χριστὸν ὡς σωτῆρά σου.

(Εἰ βούλει, εἰπὲ καὶ 3ον τῆς Ἁγίας Εὐφημίας ἐκ τοῦ Μηναίου· ἄλλως ἐπανάλαβε τὰ ἀνωτέρω.)



**Δόξα. Ἦχος πλ. δ'.**

Ὅτε πανεύφημε Ἄνασσα, τὸ ἀγγελικὸν ἐν εἰρήνῃ παρέδιδες πνεῦμά σου, τότε ἐν Ρωσσίᾳ κατέλιπες ἀντάξιον ἔγγονον. Τὸ μὲν γὰρ παρελάμβανεν ὁ τῶν Ἀνάκτων Παντάναξ, ὁ δὲ παρεσκευάζετο πρὸς συμπλήρωσιν τοῦ ἔργου σου· ἐκεῖνο κατετάσσετο ἐν τῇ χορείᾳ τῶν δικαίων, οὗτος ἐκκλησίας τοῦ Σωτῆρος ᾠκοδόμει. Ἐκεῖνο ἀπελάμβανε τὸν στέφανον τῆς δόξης, καὶ οὗτος τὴν σημαίαν τοῦ Εὐαγγελίου ἀνεπετάννυε. Μεγάλη Ὄλγα ἡ δόξα σου! Θαυμαστὴ ἡ τοῦ ἐγγόνου σου, μεθ' οὗ ἱκετεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.**

Ὁ Βασιλεὺς τῶν Οὐρανῶν διὰ φιλανθρωπίαν ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη· ἐκ Παρθένου γὰρ ἁγνῆς, σάρκα προσλαβόμενος καὶ ἐκ ταύτης προελθὼν μετὰ τῆς προσλήψεως, εἷς ἐστιν Υἱὸς διπλοῦς τὴν φύσιν, ἀλλ' οὐ τὴν ὑπόστασιν. Διὸ τέλειον αὐτὸν Θεὸν καὶ τέλειον ἄνθρωπον, ἀ-

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ

ληθῶς κηρύττοντες, ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν· ὃν ἱκέτευε Μῆτερ ἀνύμφευτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Εἴσοδος**

**Τὸ «Φῶς ἱλαρόν», τὸ Προκείμενον τῆς ἡμέρας ἐκ γ.΄ καὶ τὰ Ἀναγνώσματα.**

ΒΑΣΙΛΕΙΩΝ Α.΄ ΤΟ ΑΝΑΓΝΩΣΜΑ (ιϛ.΄ 1—14).

Εἶπε Κύριος πρὸς Σαμουὴλ· ἕως πότε σὺ πενθεῖς ἐπὶ Σαούλ, καὶ ἐγὼ ἐξουδένωκα αὐτόν, μὴ βουλεύειν ἐπὶ Ἰσραήλ; πλῆσον τὸ κέρας σου ἐλαίου, καὶ δεῦρο ἀποστέλω σε πρὸς Ἰεσσαὶ ἕως Βηθλεὲμ, ὅτι ἑώρακα ἐν τοῖς υἱοῖς αὐτοῦ ἐμοὶ βασιλέα. Καὶ ἦλθε Σαμουὴλ εἰς Βηθλεὲμ. Καὶ ἡγίασε τὸν Ἰεσσαὶ καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ ἐκάλεσεν αὐτοὺς εἰς τὴν θυσίαν. Καὶ ἐγενήθη ἐν τῷ εἰσιέναι αὐτούς, καὶ ἴδε τὸν Ἐλιάβ, καὶ εἶπεν· ἀλλὰ καὶ ἐνώπιον Κυρίου χριστὸς αὐτοῦ. Καὶ εἶπε Κύριος πρὸς Σαμουὴλ· μὴ ἐπιβλέψῃς ἐπὶ τὸ πρόσωπον αὐτοῦ, μηδὲ εἰς τὴν ἕξιν μεγέθους αὐτοῦ, ὅτι ἐξουδένωκα αὐτόν· ὅτι οὐχ ὡς ἐμβλέψεται ἄνθρωπος, ὄψεται ὁ Θεός· ὅτι ἄνθρωπος ὄψεται εἰς πρόσωπον, Θεὸς δὲ ὄψεται εἰς καρδίαν . . . Καὶ παρήγαγεν Ἰεσσαὶ τοὺς ἑπτὰ υἱοὺς αὐτοῦ ἐνώπιον Σαμουήλ. Καὶ εἶπε Σαμουὴλ πρὸς Ἰεσσαί· οὐκ ἐξελέξατο Κύριος ἐν τούτοις. Καὶ εἶπε Σαμουὴλ πρὸς Ἰεσσαί· ἐκλελοίπασι τὰ παιδάρια; καὶ εἶπεν· ἔτι ὁ μικρός, ἰδοὺ ποιμαίνει ἐν τῷ ποιμνίῳ. Καὶ εἶπε Σαμουὴλ πρὸς Ἰεσσαί· ἀπόστειλον καὶ λάβε αὐτόν, ὅτι



οὐ μὴ κατακλιθῶμεν ἕως τοῦ ἐλθεῖν αὐτὸν ἐνταῦθα. Καὶ ἀπέστειλε καὶ εἰσήγαγεν αὐτόν. Καὶ οὗτος πυρράκης μετὰ κάλλους ὀφθαλμῶν, καὶ ἀγαθὸς ὁράσει Κυρίῳ. Καὶ εἶπε Κύριος πρὸς Σαμουήλ· ἀνάστα χρῖσον τὸν Δαβίδ, ὅτι οὗτος ἐστιν ἀγαθός. Καὶ ἔλαβε Σαμουὴλ τὸ κέρας τοῦ ἐλαίου, καὶ ἔχρισεν αὐτὸν ἐν μέσῳ τῶν ἀδελφῶν αὐτοῦ. Καὶ ἐφήλατο πνεῦμα Κυρίου ἐπὶ Δαβὶδ ἀπὸ τῆς ἡμέρας ἐκείνης καὶ ἐπάνω.

**Παροιμιῶν τὸ ἀνάγνωσμα.** (ιδ΄)

Σοφαὶ γυναῖκες ᾠκοδόμησαν οἴκους· ἡ δὲ ἄφρων κατέστρεψε ταῖς χερσὶν αὐτῆς. Ὁ πορευόμενος ὀρθῶς, φοβεῖται τὸν Κύριον· ὁ δὲ σκολιάζων ταῖς ὁδοῖς αὐτοῦ, ἀτιμασθήσεται. Ἐκ στόματος ἀφρόνων βακτηρία ὕβρεως· χείλη δὲ σοφῶν φυλάξει αὐτούς. Οἰκίαι ἀσεβῶν ἀφανισθήσονται· σκηναὶ δὲ κατορθούντων στήσονται. Ὀξύθυμος πράσσει μετὰ ἀβουλίας· ἀνὴρ δὲ φρόνιμος πολλὰ ὑποφέρει. Φίλοι μισήσουσι φίλους πτωχούς· φίλοι δὲ πλουσίων πολλοί. Ὁ ἀτιμάζων πένητα, ἁμαρτάνει· ἐλεῶν δὲ πτωχούς, μακάριος ἔσται. Ἐν πολλῷ ἔθνει δόξα βασιλέως· ἐν δὲ ἐκλείψει λαοῦ συντριβὴ δυνάστου. Πραΰθυμος ἀνὴρ καρδίας ἰατρός· σὴς δὲ ὀστέων καρδία αἰσθητική. Ὁ συκοφαντῶν πένητα, παροξύνει τὸν ποιήσαντα αὐτόν· ὁ δὲ τιμῶν αὐτόν, ἐλεᾷ πτωχόν. Δικαιοσύνη ὑψοῖ ἔθνος· ἐλασσονοῦσι δὲ φυλὰς ἁμαρτίαι. Δεκτὸς βασιλεῖ ὑπηρέτης νοήμων. τῇ δὲ ἑαυτοῦ εὐστροφίᾳ ἀφαιρεῖται ἀτιμίαν.

**Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα** (ε΄ 16)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ.

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ

Διὰ τοῦτο λήψονται τὸ Βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. Ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνης, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς· καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

**Εἰς τὴν Λιτήν.**

**Ἦχος α΄.**

Προσαγαγοῦσα ὥσπερ προῖκα πολύτιμον, τῷ Νυμφίῳ σου Χριστῷ, χώραν τὴν ἀτέρμονα, μόνη εὐλογημένη ἐν γυναιξὶ τῶν Ῥώσσων ὤφθης. Καταλιποῦσα γὰρ τὸ σκότος καὶ τὸ φῶς ἀγαπήσασα, τό τε ἔθνος σου ἔσωσας, καὶ θρίαμβον τῆς ἀληθοῦς θρησκείας μέγαν



παρεσκεύασας. Διὸ ταῖς λιταῖς Ὄλγα ἀοίδιμε, σῶζε ἡμᾶς ἐκ λοιμοῦ καὶ λιμοῦ, καὶ τοῦ ἐπαράτου αἰφνιδίου θανάτου.

**Ὁ αὐτός.**

Σήμερον ὡς ἀληθῶς, τὸ προφητικὸν πεπλήρωται λόγιον· ἰδοὺ γὰρ ὁ τῶν ἁπάντων Ἄναξ, ἐκ τοῦ ἐκλεκτοῦ λαοῦ αὐτοῦ, ὕψωσεν ἐμφανῶς, ὡς σελήνην σωτηρίας, τὴν μακαρίαν ἄνασσαν Ὄλγαν· ἧς ταῖς πρεσβείαις, πάντας ἡμᾶς, ἐξ ὀργῆς δικαίας σου, Δέσποτα, διαφύλαττε, τοὺς ὑμνοῦντας αὐτῆς τὴν ἔνδοξον κοίμησιν.

**Ἦχος δ΄.**

Πρῶτος μὲν μέδων εὐσεβής, ὁ μακάριος ἐν Βασιλεῦσιν ὤφθη Κωνσταντῖνος· πρώτη δὲ σύ, ἐκ τῆς τῶν εὐσεβῶν Ῥώσσων χώρας, ἐν τῇ τῶν ἁγίων χορείᾳ χοροστατεῖς. Μὴ οὖν ἐλλείπῃς τὸν νυμφίον σου Χριστόν, Μῆτερ Ὄλγα δυσωποῦσα, ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ

'Ο αὐτός.

Ἡ λαμπρὰ καὶ θεία ὄντως πολιτεία σου, οὐ μόνον βροτούς, ἀλλὰ καὶ ἀσωμάτους Ὄλγα κατέπληξεν. Οἱ μὲν γὰρ καθορῶντες τὸν Δεσπότην, τὴν καθαράν σου ψυχήν, ταῖς τάξεσιν αὐτῶν συναριθμοῦντα, θαυμασίως ἠγάλλοντο. Οἱ δὲ πιστοί, τῶν ὑπὲρ τῆς ἀληθείας ἀτρύτων κόπων σου σήμερον μνημονεύοντες, σὲ ἱκετεύομεν ἔνδοξε, πρέσβευε ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος πλ. α.'

Κροτήσωμεν φιλέορτοι τὰς χεῖρας, τιμήσωμεν συμφώνως καὶ ὑμνήσωμεν ἐν ᾄσμασι, τὴν ἐτήσιον πανήγυριν τῆς πανυπερσεβάστου Μητρός· βασιλεῖς καὶ ἄρχοντες θαυμαζέτωσαν, καὶ τὴν Βασιλίδα εὐφημείσθωσαν ἐν ὕμνοις, Βασιλέα κηρύξασαν τοῖς ἐν σκότει καθημένοις πρίν, τὸν Χριστὸν τὸν δι' ἡμᾶς ἐνανθρωπήσαντα. Ποιμένες καὶ διδάσκαλοι, τὴν τοῦ καλοῦ Ποιμένος χαριτώνυμον Νύμφην, ἐν τυμπάνοις ἀλλαλάξωμεν· τῶν θαυμάτων τὴν πηγήν· τῆς εὐσεβείας τὸν στῦλον· τὴν προ-



στασίαν τῶν αἰχμαλώτων· τὴν θεραπείαν τῶν ἀσθενῶν· τὸν τῆς Ρωσσίας πυρίμορφον ἥλιον· τῆς ἐκκλησίας τὸ σεμνὸν κόσμημα· τὴν παραμυθίαν τῶν ἁμαρτανόντων, τὴν ὑπὲρ πάντων τῶν Ὀρθοδόξων πρεσβεύουσαν, ἀοίδιμον Ὄλγαν ἐγκωμιάζοντες, οὕτω βοήσωμεν· Αὐγούστα πανένδοξε, σαῖς λιταῖς διαφύλαττε ἡμᾶς, ἐκ κινδύνων καὶ θλίψεων, τοὺς πόθῳ σε Μῆτερ πανηγυρίζοντας.

Καὶ νῦν. Θεοτοκίον. 'Ο αὐτός.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον

Ἦχος πλ. α.' «Χαίροις ἀσκητικῶν»

Χαίρει ἡ Ἐκκλησία Χριστοῦ, ἐν τῇ σῇ μνήμῃ ὦ Βασίλισσα σήμερον, καὶ χαίρουσα νῦν κραυγάζει, σὺν τοῖς ἀγγέλοις τρανῶς· χαίροις Ὄλγα Μῆτερ παναοίδιμε· Ρωσσίας

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΤΙΚΗ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ

τὸ καύχημα, Ὀρθοδόξων ἀγλάϊσμα· τῆς εὐσεβείας, ὁ ἀστὴρ ὁ λαμπρότατος, ἡ βοήθεια, τῶν πιστῶν τῶν τιμώντων σου, μνήμην τὴν ἀξιάγαστον, θερμῶς καὶ βοώντων σοι· πρέσβευε πάντοτε Μῆτερ, καὶ τὸν Χριστὸν καθικέτευε, ἡμῖν καταπέμψαι, τὰ πολλὰ αὐτοῦ ἐλέη, καὶ τὰ χαρίσματα.

**Στίχ.** Ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου, εὗρον Δαβὶδ τὸν δοῦλον μου, ἐν ἐλαίῳ ἁγίῳ μου ἔχρισα αὐτόν.

Ὄντως σὺ ἀνεδείχθης ναὸς, τοῦ Παναγίου νοητῶς Ὄλγα Πνεύματος· ἐγκαίρως γὰρ τοῦ Προφήτου, τὴν θείαν ῥῆσιν σαφῶς, ὡς σοφὴ Αὐγούστα ἐννοήσασα, τὴν πλάνην κατέλιπες, τῶν εἰδώλων πανένδοξε. Ὅθεν ἀπῆλθες, παραυτίκα ἀείμνηστε, εἰς τὴν ἔνδοξον, Κωνσταντίνου Ἀκρόπολιν, φώτισμα τὸ σωτήριον, ζητοῦσα πανεύφημε, ὁ εὐχαρίστως λαβοῦσα, ἐδοξολόγεις τὸν Κύριον· αὐτὸν οὖν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.



**Στίχ.** Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.

Δεῦτε τῶν φιλεόρτων πληθύς, εὔσημον μνήμην ἐκτελέσωμεν σήμερον, Ἀνάσσης τῆς μακαρίας, καὶ ἀοιδίμου Μητρὸς, Ὄλγας πάντες ταύτῃ ἀνακράζοντες· ἱκέτευε πάντοτε, ὦ Αὐγούστα τὸν Κύριον, ὑπὲρ σῆς χώρας, καὶ ἡμῶν τῶν τιμώντων σου, τὴν πανίερον, καὶ τιμίαν πανήγυριν· πέφυκας γὰρ πανσέβαστε, Ῥωσσίας ἀγλάϊσμα, Ὀρθοδοξίας ἡ στήλη, ταλαιπωρούντων ἀνάψυξις, παράκλησις ὄντως, τῶν πενήτων καὶ προστάτις, παντὸς τοῦ ἔθνους σου.

**Δόξα. Ἦχος πλ. β.**

Ὁ τῶν Βασιλευόντων Βασιλεύς, καὶ τῶν Ἀνάκτων Παντάναξ, καθάπερ πάλαι ἐζώγρησε Ἑλένης τὸν γόνον, τὸ φῶς διὰ τούτου δωρησάμενος τῷ κόσμῳ, οὕτω καὶ νῦν τὴν ἀοίδιμον Ἄνασσαν, ἐν τοῖς Ῥώσσοις ἐγείρει. Ταύτης οὖν καὶ ἡμεῖς σήμερον τὴν μνήμην ἑορτάζοντες, καὶ τὰς πολυτίμους αὐτῆς ἱκεσίας ἐκζητοῦντες, ἐν πίστει

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ

βοηθήσωμεν πρὸς αὐτήν, ὦ φιλέορτοι· πρέσβευε τῷ Κυρίῳ, πανεύφημε Ὄλγα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.**

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς. Σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ τῆς Θεοστέπτου καὶ πάντων τῶν Ἁγίων ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

**Τὰ «Νῦν ἀπολύεις»**

**Τὸ Τρισάγιον κτλ.**

ΑΠΟΛΥΤΙΚΙΟΝ.

**Ἦχος γ΄.** Γ. ΛΑΜΠΑΚΗ.

Ἁγία Ἰσαπόστολε, Νύμφη τοῦ Χριστοῦ, Βασίλισσα Ὄλγα, ἡ Ἔθνος τὸ σόν, γάλα τὸ λογικὸν καὶ ἄδολον Χριστοῦ ποτίσασα· πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

(Εἰ βούλει, λέγε **Δόξα,** τὸ τῆς Ἁγίας Εὐφημίας· ἄλλως, τὸ ἀνωτέρω.)



**Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.**

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

**Μετὰ τὸν ἑξάψαλμον, εἰς τὸ «Θεὸς Κύριος» τὰ Ἀπολυτίκια ὡς ἄνω. Μετὰ δὲ τὴν α΄ Στιχολογίαν τὰ ἑπόμενα τῆς Ἁγίας**

**Καθίσματα.**

**Ἦχος α΄. «Τὸν τάφον σου Σωτήρ».**

Ἐπέστη τὸ σεπτόν, τῆς Μητρὸς ἡμῶν Ὄλγας, μνημόσυνον πιστοί, ἀπαστράπτον ὡς ἄλλος, τοῖς πέρασιν ἥλιος, φωτεινὸς καὶ λαμπρότατος. Ὅθεν σήμερον, δόξαν προσοίσωμεν πάντες, τῷ δοξάζοντι, ἐπὶ τῆς γῆς τοὺς Ἁγίους, Χριστῷ τῷ Θεῷ ἡμῶν.

**Δόξα. Τὸ αὐτό.**

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ

**Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.**

Μητέρα σε Θεοῦ, ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα· σὲ γὰρ ἔχομεν, ἁμαρτωλοὶ προστασίαν, σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην Πανάμωμον.

**Μετὰ δὲ τὴν β.΄ Στιχολογίαν, τὰ ἑπόμενα.**

**Ἦχος γ.΄ «Τὴν ὡραιότητα».**

Τὴν ὑπερένδοξον Ἄνασσαν ἅπαντες, Ὄλγαν ἐν ᾄσμασιν ἀνευφημήσωμεν· καὶ μετὰ δέους πρὸς αὐτὴν, προστρέξωμεν ἐκβοῶντες· χαῖρε ἡ ὑπέρμαχος τῶν πιστῶν καὶ τὸ στήριγμα, χαῖρε Ὀρθοδόξων τε, κλέος ὄντως καὶ σέμνωμα, χαῖρε χαριτώνυμε Μῆτερ, χαῖρε χαρμονὴ τῆς Ρωσσίας.

**Δόξα. Τὸ αὐτό.**

**Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.**

Τὴν ὡραιότητα τῆς Παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγεὶς ἐβόα σοι Θεοτόκε·



ποῖον σοι ἐγκώμιον, προσαγάγω ἐπάξιον; τί δὲ ὀνομάσω σε; ἀπορῶ καὶ ἐξίσταμαι! Διὸ ὡς προσετάγην βοῶ σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

**Μετὰ δὲ τὸν Πολυέλεον, τὸ ἑπόμενον.**

**Ἦχος δ.΄ «Κατεπλάγη Ἰωσήφ».**

Ἑκουσίᾳ σου βουλῇ, βάπτισμα ἔλαβες σοφὴ, κατελθοῦσα ἐν σπουδῇ, εἰς τὸ Βυζάντιον ἁγνὴ, ἔνθα Πολύευκτος ἐβάπτισέ σε τότε· ὃς καὶ φωτισθεὶς, ἀνεβόησε· σὺ ἐν γυναιξὶν, ἀπαράμιλλος, ὡς ἐκλιποῦσα τὸ σκότος καὶ τὴν πλάνην, τὸν δὲ Χριστὸν ἐκζητήσασα· Εὐλογημένη, ὅθεν ὑπάρχεις, μακαρία Βασίλισσα.

**Δόξα καὶ νῦν. Θεοτοκίον· Ὅμοιον.**

Κατεπλάγησαν Ἁγνὴ, πάντες Ἀγγέλων οἱ χοροὶ, τὸ μυστήριον τῆς σῆς, κυοφορίας τὸ φρικτόν· πῶς ὁ τὰ πάντα συνέχων νεύματι μόνῳ, ἀγκάλαις ὡς βροτός, ταῖς σαῖς συνέχεται, καὶ δέχεται ἀρχὴν ὁ προαιώνιος, καὶ γαλουχεῖται σύμπασαν, ὁ τρέφων πνοὴν ἀφάτῳ χρηστότητι, καὶ σὲ ὡς

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ

ὄντως, Θεοῦ Μητέρα, εὐφημοῦντες δοξάζουσι.

**Εἶτα οἱ ἀναβαθμοί, τὸ α.' ἀντίφωνον τοῦ δ.' ἤχου («Ἐκ νεότητός μου» κ.τ.λ.)**

**Προκείμενον.**

**Ἦχος δ.'**

**«Ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου, εὗρον Δαβὶδ τὸν δοῦλόν μου, ἐν ἐλαίῳ Ἁγίῳ μου ἔχρισα αὐτόν.**

Στίχ. **Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.**

ΕΥΑΓΓΕΛΙΟΝ

Ἐκ τοῦ κατὰ Λουκᾶν (κεφ. ια.' στ. 29—33.)

**«Τῷ καιρῷ ἐκείνῳ, ἐπαθροιζομένων τῶν ὄχλων, ἤρξατο ὁ Ἰησοῦς λέγειν» κ.τ.λ.**
(Ζήτει τῇ Δευτέρᾳ τῆς ζ.' ἑβδομάδος τοῦ Λευκᾶ).

Εἶτα ὁ Ν.' ψαλμὸς («**Ἐλέησόν με ὁ Θεός**»).

**Δόξα.**

**Ταῖς τῆς Θεοστέπτου πρεσβείαις** κ.τ.λ.

**Καὶ νῦν.**

**Ταῖς τῆς Θεοτόκου.**

Εἶτα· **«Ἐλεῆμον, ἐλέησόν με...»**

**Ἦχος πλ. β.'**

Βασιλικὴ πανήγυρις, τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ ἐπέλαμψε σήμερον, ἡ ἔνδοξος



μνήμη, Ὄλγας τῆς Βασιλίδος. Δεῦτε οὖν χαριστήριον ᾠδὴν ταύτῃ προσοίσωμεν, καὶ εὐλαβῶς πρὸς αὐτὴν ἐκβοήσωμεν λέγοντες· Μὴ ἐλλείπῃς πρεσβεύειν, **Θεόστεπτε** Ἄνασσα, ὅπως εὕρωμεν ἱλασμὸν τῶν ἡμετέρων ἀνομημάτων, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Εἶτα· **«Σῶσον ὁ Θεὸς τὸν λαόν σου.»**

Τὸ **«Κύριε ἐλέησον» 12**άκις, καὶ ἡ **Ἐκφώνησις.**

**Ὁ Κανὼν τῆς Ἁγίας,**

Οὗ ἡ ἀκροστιχὶς κατ' ἀλφάβητον, πλὴν τῶν Θεοτοκίων.

**Ὠδὴ α.'**

**Ἦχος πλ. δ.' «Ὑγρὰν διοδεύσας»**

Ἀνάσσης τὴν θείας τὴν ἑορτήν, σήμερον ἐν ὕμνοις, ἐκτελέσωμεν οἱ πιστοί· πρὸς ταύτην ἐν πόθῳ ἐκβοῶντες· ὑπὲρ ἡμῶν τῷ Χριστῷ, Ὄλγα πρέσβευε.

Βασίλισσα Ὄλγα οἱ εὐσεβεῖς, πάντες ἐκζητοῦμεν, τὴν σὴν σκέπην διηνεκῶς· ἐν πίστει βοῶντες χαῖρε Μῆτερ, τὸ τῆς Ρωσσίας σεμνὸν ἐγκαλλώπισμα.

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ

Γεραίρειν Αὐγούστα ὁ δυστυχής, τὰ σὰ μεγαλεῖα καὶ τὰς πράξεις ἰλιγγιῶ· ἀλλ' ὅμως ταῖς θείαις σου πρεσβείαις, ἐνίσχυσόν με πανεύφημε δέομαι. **Θεοτοκίον.**

Ναὸς ἀνεδείχθης ἐπὶ τῆς γῆς, Θεοτόκε ὄντως καὶ παλάτιον εὐαγές, τοῦ Λόγου διό σε ἱκετεύω, τὰ τῆς ψυχῆς μου θεράπευσον τραύματα.

**Καταβασία.** «**Ἀ**νοίξω τὸ στόμα μου».

**Ὠδὴ γ.'** «**Οὐρανίας ἁψῖδος**».

Δέομαί σου Αὐγούστα, πανευκλεὴς Ἄνασσα, ὅπως μὴ ἐλλείπῃς πρεσβεύειν ὑπὲρ τοῦ δούλου σου, ὃς εὐλαβείᾳ πολλῇ, τόδε τὸ πόνημα γράφει, πρὸς τιμὴν τῆς μνήμης σου Ὄλγα ἀείμνηστε.

Εὐσεβείας ἡ στήλη, περιστερὰ πάνσεμνος, καὶ τῶν Ὀρθοδόξων ἁπάντων, ὤφθης τὸ καύχημα. Ὅθεν τιμῶμεν λαμπρῶς, τὴν πανσεβάσμιον μνήμην, καὶ τὰ κατορθώματα τὰ σὰ πανένδοξε.



Ζαφεγγὴς ἡ σὴ μνήμη, ὡς φωταυγὴς ἥλιος, ἐν τῇ Ἐκκλησίᾳ Αὐγούστα, ἐπέστη σήμερον· καὶ τῶν πιστῶν τὰς ψυχάς, καθαγιάζει διό σε, Μῆτερ ἀνυμνοῦμέν σε, σεπτὴ Βασίλισσα. **Θεοτοκίον.**

Ἱκετεύω σε Κόρη, τὸν τῆς ψυχῆς τάραχον, καὶ τὴν ἀρρωστίαν μου πᾶσαν, Μῆτερ κατεύνασον· ὅπως τιμῶ σε θερμῶς, ὑμνολογῶ τε δικαίως, καὶ τὸ χαῖρε κράζω σοι, ὡς ὁ Ἀρχάγγελος.

**Καταβασία.** «**Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε**»

**Μετὰ δὲ τὴν Ἐκφώνησιν.**

**Κάθισμα. Ἦχος δ.'** «**Ἐπεφάνης σήμερον**».

Τὸν Ναόν σου ἔνδοξε περικυκλοῦντες, καὶ τὰ σὰ θαυμάσια ὑμνολογοῦντες ἐν αὐτῷ· ἐν κατανύξει βοῶμέν σοι· Ὄλγα βοήθει, τοὺς σὲ ἑορτάζοντας.

**Δόξα. Ὁ αὐτός.** «**Ταχὺ προκατάλαβε**».

Ὡς πύργον ἀπόρθητον, τῆς Ἐκκλησίας Χριστοῦ, καὶ στῦλον ἀκλόνητον τῆς εὐσεβείας τρανῶς, τιμῶμέν σε πάνσεμνε· λύσα-

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ

σα γὰρ τὴν πλάνην, τῶν εἰδώλων Αὐγού-στα, δεύτερος Κωνσταντῖνος ἐν Ρωσσίᾳ ἐδείχθης, Χριστὸν ἐν παρρησίᾳ πολλῇ, Ὄλγα κηρύξασα.

**Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.**

Παρθένε πανάμωμε, μὴ διαλείπῃς ἁγνή, πρεσβεύειν ἑκάστοτε ὑπὲρ ἡμῶν τῶν πιστῶς, ἀεὶ εὐφημούντων σε· ἄλλην γὰρ προστασίαν, οὐ κεκτήμεθα Μῆτερ, πάναγνε τοῦ Σωτῆρος, ἐκτὸς σοῦ Παναγία, ἡ τῶν ἀπηλπισμένων ἐλπίς, καὶ καταφύγιον.

**Ὠδὴ δ.' «Εἰσακήκοα Κύριε».**

Ἡ ὁμήγυρις ἅπασα, τῶν Ὀρθοδοξούντων ἀνευφημοῦσά σε, μεγαλύνει Μῆτερ σήμερον, τὸν δοξάσαντά σε, Ὄλγα Κύριον.

Θησαυρὸς ἀνεκτίμητος, ὤφθης τῆς πατρίδος σου καὶ ἀγλάϊσμα· Ὀρθοδόξων τε κραταίωμα, καὶ τῆς ἀσεβείας, βαρὺς πέλεκυς.

Ἱκετεύομεν ἔνδοξε, ὅπως μὴ ἐλλείπῃς ποτὲ πρεσβεύουσα, τῷ Νυμφίῳ σου πανεύφημε,



ὑπὲρ τῶν σῶν δούλων, Ὄλγα πάνσεμνε.

**Θεοτοκίον.**

Καταλλάξαι βουλόμενος, ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ Δέσποινα, τοὺς ἀνθρώπους τῇ Θεότητι, ἐν τῇ σῇ Παρθένε, μήτρα ᾤκησεν.

**Καταβασία. «Τὴν ἀνεξιχνίαστον θείαν βουλήν»**

**Ὠδὴ ε.' «Φώτισον ἡμᾶς».**

Κάλυψον ἡμᾶς, τῇ σῇ σκέπῃ παναοίδιμε, καὶ ταῖς πολλαῖς σου Ὄλγα πρὸς τὸν Θεόν, Μῆτερ πρεσβείαις, τοὺς ἐν πίστει ἀνυμνοῦντάς σε.

Λύτρωσαι ἡμᾶς, ἐκ κινδύνων καὶ κακώσεων, καὶ πάσης ἐπιρροίας τοῦ πονηροῦ, τὸν πάντων Κτίστην, ἱκετεύουσα Βασίλισσα.

Μάρανον Ἁγνή, τὰς κακὰς ὁρμὰς τοῦ σώματος, ἱκετεύω Αὐγούστα τὰς τοῦ ἐμοῦ, καὶ σωφροσύνην, τῇ πρεσβείᾳ σου παράσχου μοι.

**Θεοτοκίον.**

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ

Ὅλη τῇ ψυχῇ, διανοίᾳ καὶ καρδίᾳ τε, τὸν τῆς Παρθένου Τόκον ὑμνολογῶ· καὶ ὡς Θεόν μου, μεγαλύνω τοῦτον πάντοτε.

**Καταβασία «Ἐξέστη τὰ σύμπαντα».**

**Ὠδὴ ς΄ «Ἱλάσθητί μοι Σωτήρ»**

Ναὸς ἐδείχθης σοφή, καὶ καθαρὸν ἐνδιαίτημα, ἐπὶ τῆς γῆς ἀληθῶς, τοῦ Ἁγίου Πνεύματος· διὸ νῦν τὸ πνεῦμά σου, μετὰ τῶν Ἀγγέλων, συγχορεύει Ὄλγα ἔνδοξε.

Ξενεῖον ὤφθης τρανῶς, τῶν Ὀρθοδόξων Βασίλισσα, τοὺς καταφεύγοντας γὰρ τῇ σκέπῃ σου πάνσεμνε, θερμῶς ἐκ κακώσεων, καὶ δεινῶν κινδύνων, διασώζεις ἀξιάγαστε.

Ὁ πάντων Ἄναξ τρανῶς, σκεῦος λαμπρὸν ἐξελέξατο, τὴν ὑπερθαύμαστον σέ, Αὐγοῦστα βουλόμενος, τῶν Ῥώσσων τὸ ἔνδοξον, ὅπως σαγηνεύσῃ, ἔθνος ὄντως καὶ μακάριον.

**Θεοτοκίον.**

Λιμὴν γενοῦ ἀσφαλής, καὶ τεῖχος Κόρη ἀκράδαντον, καὶ προστασία στερρά, τῶν



σὲ μετὰ πίστεως, Παρθένε πανάμωμε, ἀνυμνολογούντων, καὶ βοώντων χαῖρε Δέσποινα.

**Καταβασία. «Τὴν θείαν ταύτην καὶ πάντιμον»**

**Μετὰ δὲ τὴν Ἐκφώνησιν.**

## ΤΟ ΚΟΝΤΑΚΙΟΝ.

**Ἦχος πλ. δ.΄ «Τῇ ὑπερμάχῳ».**

Τῇ Ὑπερσόφῳ Βασιλίσσῃ κατὰ χρέος τε,
Καὶ μετὰ πόθου τὴν θερμὴν εὐγνωμοσύνην μου,
Ἀναπέμπω σοι ἡ Χώρα σου, ὦ Αὐγοῦστα!
Ἀλλ' ὡς ἔσωσας καὶ πάλαι ἐκ τοῦ σκότους με,
Ἐκ παντὸς καὶ νῦν σκανδάλου μ' ἐλευθέρωσον,
Ὅπως ᾄδω σοι· Χαῖρε Ὄλγα Θεόστεπτε.

**Ὁ Οἶκος «Ἄγγελος πρωτοστάτης»**

Ἄγγελοι ἀοράτως, σὺν ἡμῖν ἐξυμνοῦσι, μετὰ δέους τὰ σὰ μεγαλεῖα· τὰ γὰρ εἴδωλα Μῆτερ τρανῶς, ὡς χειρῶν ἀνθρώπων ἔργα συνέτριψας, καὶ Ῥώσσους κατεφώτισας, τοὺς πόθῳ σοι βοῶντας οὕτως·

Χαῖρε ἀστέρος λαμπροῦ Προμήτωρ·

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ

χαῖρε φιλόστοργος Ρώσσων Μήτηρ.
Χαῖρε Βλαδιμήρου τῷόντι ὁ πρόδρομος·
χαῖρε τοῦ Χριστοῦ ἰσαπόστολος ἔνδοξος.
Χαῖρε τίμιον ἀγλάϊσμα ἱερέων εὐλαβῶν·
χαῖρε καύχημα πανάριστον Βασιλέων εὐσεβῶν.
Χαῖρε τῆς εὐσεβείας ἀδιάσειστος πύργος·
χαῖρε ὅτι ὑπάρχεις Ὀρθοδόξων ὁ στῦλος.
Χαῖρε λαοὺς διδάξασα Ἄνασσα·
χαῖρε λαμπρῶς τὴν πλάνην διώξασα.
Χαῖρε δι' ἧς τὸ σὸν Ἔθνος ἐσώθη·
χαῖρε δι' ἧς ἐλυτρώθη τοῦ σκότους.
Χαῖρε Ὄλγα Θεόστεπτε.

**Τῇ ια.' τοῦ μηνὸς Ἰουλίου**
**Μνήμην ἐπιτελοῦμεν τῆς Ἁγίας, ἐνδόξου, Θεοστέπτου, Βασιλίσσης καὶ Ἰσαποστόλου**

**ΟΛΓΑΣ**

**τῆς εἰσαγαγούσης τὸν Χριστιανισμὸν ἐν Ρωσσίᾳ.**

**Στίχοι.**

» Ἐγγὺς Βασιλὶς ὄντως Ὄλγα Κυρίου,
» Ταῖς ἀρεταῖς ἕστηκεν ἐστιλβωμένη.
» Οὐρανοῦ εἰς ξενίην Ὄλγα δεκάτῃ ἦλθε πρώτῃ.



Αὕτη ἡ πανευκλεὴς καὶ παμμακάριστος Ἁγία κατήγετο ἐξ ἐπισήμου μὲν γένους, ἀλλ' οὐχὶ καὶ βασιλικοῦ τῆς εὐδαίμονος Ρωσσίας, γεννηθεῖσα καὶ ἀνατραφεῖσα ἐν τῇ τῶν εἰδώλων θρησκείᾳ. Εἶδε δὲ τὰς πρώτας τοῦ ἡλίου αὐγὰς περὶ τὰ μέσα τῆς θ.' ἑκατονταετηρίδος ἐν τῇ κώμῃ Οὐΰβούτῃ ἢ Σιβούτῃ (Vybout ἢ Sibout), κειμένῃ παρὰ τῇ νῦν Πλεσκοβίᾳ (Pscow) κατά τινας. Κατ' ἄλλους δέ, ὡς τόπος τῆς γεννήσεως αὐτῆς φέρεται ἡ Ἰζεβόρσκη ἢ Πρεκράσνα(=Καλλίστη). Ὅτε δ' ὁ βασιλεὺς τῆς Ρωσσίας Ἴγωρ, ὁ τοῦ πρώτου παρὰ Ρώσσοις αὐταρχήσαντος Ρουρίκου υἱὸς, ἠβουλήθη εἰςγάμου κοινωνίαν ἐλθεῖν, καὶ πολλῶν πάνυ ὡραίων νεανίδων ὑπαρχουσῶν αὐτῷ καὶ διασήμου μάλιστα γένους, ἐξ ὧν μία τις ἔμελλεν ἀναδειχθῆναι ἀξία σύμβιος αὐτοῦ, ὁ Ἴγωρ πρὸς οὐδεμίαν τούτων ἐπεδείξατο κλίσιν, ἀλλ' ἐζήτησεν ὡς σύζυγον τὴν μακαρίαν ταύτην Ὄλγαν, ἧς ἔλαβεν ἀφορμὴν ποτε νὰ θαυμάσῃ τὸ μὲν τὴν ἔξοχον καλλονὴν καὶ εὐφυΐαν, τὸ δὲ τὴν θαυμαστὴν τῷόντι σωφροσύνην καὶ ἀγχίνοιαν. Ἔφηβος δηλ. ἔτι ὢν οὗτος καὶ τῇ κυνηγεσίᾳ προσκείμενος, διέτρεχε τὰς πόλεις καὶ χώρας τῆς αὐτοῦ κυριαρχίας, τὰ σκῆπτρα τῆς βασιλείας κρατοῦντος ἔτι τοῦ Ὀλέγου, ὃν, ἀποθνήσκων ὁ πατὴρ τοῦ Ἴγωρος, κατέστησεν ἐπίτροπον καὶ κηδεμόνα τοῦ ἀνηλίκου αὐτοῦ υἱοῦ. Μιᾷ οὖν τῶν ἡμερῶν θηρεύων κατὰ τὰ δάση τῆς νῦν Πλεσκοβίας, εἶδε πέραν ποταμοῦ τινος ποθητὴν αὐτῷ θήραν, ἀλλὰ μὴ ἔχων πλοιάριον, ἔμενε βλέπων μακρόθεν. Πλὴν μετὰ μικρὸν βλέπει νεανίαν τινὰ πλέοντα ἐπὶ πλοιαρίου, ὃν προσκαλεσάμενος, διέταξεν ἵνα διαβιβάσῃ εἰς τὴν ἀντιπέραν ὄχθην. Κατὰ τὸν πλοῦν ὅμως παρατηρήσας καλῶς τὸν κωπηλάτην, ἔγνω ὅτι οὗτος οὐκ

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ

ἦν νεανίας, ἀλλὰ παρθένος πάνυ καλὴ καὶ ὡραία τὴν ὄψιν. Ἐκ τούτου δὲ τρωθεὶς τὴν καρδίαν ὁ νέος Ἴγωρ, ἤρξατο διὰ λόγων πειρώμενος αὐτὴν δελεάσαι. Ἡ δὲ σεμνὴ παρθένος κατανοήσασα τὴν τοῦ Ἴγορος τάραξιν τῶν φρενῶν, εἶπε πρὸς αὐτόν. «Διατὶ ταράττεσαι, ὦ ἡγεμών, μάταια συλλογιζόμενος; Αἱ ἀπρεπεῖς σου λέξεις καταδεικνύουσί σε σπουδάζοντα ἐμπαῖξαί με. Ἀλλ' ἐγὼ ταῦτα οὐδόλως βούλομαι ἀκοῦσαι. Ἀπόθου οὖν τοὺς πονηροὺς λογισμούς. Μνήσθητι ὅτι ἡγεμὼν εἶ, ὅστις ὀφείλει τὸ παράδειγμα εἶναι τῶν καλῶν ἔργων τοῖς πᾶσιν. Καὶ ἂν σὺ αὐτὸς ἐθέλῃς πρᾶξαι ἤδη κακόν, ὑπείκων εἰς τὴν ἀκάθαρτον ἐπιθυμίαν, πῶς ἔπειτα χαλιναγωγήσεις τὰς κακοπραγίας τῶν ἄλλων, καὶ κρινεῖς δικαίως τοὺς σοὺς ὑπηκόους; Ἀπόβαλε τοίνυν τὴν αἰσχρὰν ἐπιθυμίαν, ἣν πάντες οἱ τίμιοι βδελύσσονται· μισήσουσι δέ σε καὶ ἐμπαίξουσι πάντες αἰσχρὰ πράττοντα. Γίνωσκε δὲ ὅτι, εἰ καὶ μόνη καὶ ἀσθενής εἰμι, ἀλλ' οὐδόλως κατισχύσεις τῆς ἀδυναμίας μου· εἰ δὲ τυχὸν ἐκ τῆς σῆς παραβιάσεως καταβληθείην, τὸ βάθος τοῦ ποταμοῦ ἔσται μοι καταφύγιον. Προτιμῶ γὰρ μᾶλλον ἀποθανεῖν ἐν τῷ ὕδατι, διασώζουσα τὴν ἁγνείαν τῆς παρθενείας, ἢ ζῆν ἠτιμασμένη.» Οὗτοι οὖν οἱ λόγοι τῆς μακαρίας Ὄλγας τοσοῦτον βαθέως συνεκίνησαν τὸν Ἴγορα, ὥστ' ἐσιώπησεν αἰσχυνόμενος. Καὶ οὕτω διαπλεύσαντες, ἀπεχωρίσθησαν, θαυμάζοντος τοῦ Ἴγορος τὴν φρόνησιν καὶ ἀγχίνοιαν τῆς νέας. Τοῦτο δὲ ὑπῆρξε βεβαίως ἀρχὴ καλὴ καὶ θαυμασμοῦ ἀξία τῆς μακαρίας Ὄλγας, ἥτις μήπω ἐπιγνοῦσα τὸ ἀληθινὸν Θεὸν μήτε τὰς ἐντολὰς αὐτοῦ ἀκούσασά ποτε, τοιοῦτον περὶ σωφροσύνης ἔδειξε ζῆλον, ὥστε ἠδυνάθη διατηρῆσαι τὴν παρθενίαν ἁγνήν, καὶ διὰ



σοφωτάτων ῥημάτων καταπραῦναι τὴν ἄσεμνον ἐπιθυμίαν τοῦ νέου ἡγεμόνος, καί περ ἄλλως νουνεχοῦς τυγχάνοντος. Εἰκάζουσι δ' ὅτι τότε ἦν πεντεκαίδεκα ἐτῶν.

Ὅτε οὖν ἐπέστη ὁ χρόνος, καθ' ὅν, ὡς προείπομεν, ἐνῆλιξ γενόμενος ὁ Ἴγωρ, ἔμελλεν εἰς γάμου κοινωνίαν ἐλθεῖν, ἀπῆλθεν εὐθὺς ὁ κηδεμὼν αὐτοῦ Ὄλεγος, καὶ μετὰ μεγάλης τιμῆς προσήγαγε τὴν νεάνιδα ταύτην ἐν Κιαίβῳ, τῇ πρωτευούσῃ τότε τοῦ Κράτους, καὶ συνέζευξε νομίμως τῷ Ἴγορι. Κατὰ τοὺς ἱστορικοὺς δέ, τὸ ὄνομα Ὄλγα ἔδωκεν εἰς αὐτὴν αὐτὸς οὗτος ὁ Ἴγωρ, ὡς δεῖγμα ἀφοσιώσεως πρὸς τὸν αὐτοῦ κηδεμόνα Ὄλεγον, καί τοι παρὰ τοῖς Βυζαντινοῖς γράφεται Ἔλγα. Ἐγεννήθη δ' αὐτῷ ἐκ τῆς Ὄλγας ὁ Συατοσλάβος, ὁ πατὴρ τοῦ μεγάλου ἡγεμόνος Βλαδιμήρου. Μετὰ δὲ τὸν θάνατον ἢ κάλλιον, τὴν δολοφονίαν τοῦ συζύγου αὐτῆς Ἴγορος, ἀνηλίκου ἔτι ὄντος τοῦ υἱοῦ Συατοσλάβου, ἀνέλαβεν αὕτη τὰ ἡνία τοῦ κράτους. Καὶ ναὶ μὲν τοὺς δολοφόνους τότε τοῦ συζύγου κακοὺς κακῶς ἀπώλεσε, μηχανὰς μετελθοῦσα, μαρτυρούσας τῆς διανοίας αὐτῆς τὴν γονιμότητα καὶ τὸ στρατηγικόν, πλὴν οἱ ἥρωες τῶν διαφόρων λαῶν δέον νὰ κρίνωνται κατὰ τὰ ἤθη καὶ ἔθιμα τῆς ἐποχῆς καθ' ἣν ἔζησαν, ἅτινα ἀδιάλλακτον ἐκδίκησιν τούτοις ἐπέβαλλον. Ἄλλως τε ἡ μακαρία αὕτη Ἄνασσα οὔπω ἦν μεμυημένη τότε τὰς θείας τοῦ Εὐαγγελίου ἐντολάς.

Μετὰ δὲ ταῦτα ἡ ἡγεμονὶς περιῆλθε τὸ κράτος αὐτῆς καὶ διεμέρισε τὰς χώρας εἰς δήμους, διέταξε δασμούς, ᾠκοδόμησε χωρία, εἰσήγαγε νόμους φιλανθρώπους, ἐνεψύχωσε τὸ ἐμπόριον, καὶ τέλος ἔπραξε πᾶν ὅ,τι αἱ περιστάσεις ἐνεδέ-

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ

χοντο πρὸς εὐημερίαν τοῦ λαοῦ αὐτῆς, οἵτινες διὰ πολλοῦ χρόνου ἀπεμνημόνευον μετ' εὐλογίας τὴν πολλῶν καλῶν πρόξενον ἐκείνην περιήγησιν. Στερεώσασα δ' οὕτω τὴν ἐσωτερικὴν εὐταξίαν, ἐπανῆλθεν εἰς Κίαιβον, ὅπου ἐκυβέρνα ἐν ἄκρᾳ συνεσει, ἀποδιδοῦσα τοῖς ἀγαθοῖς τιμάς, τοὺς κακοὺς τιμωροῦσα, τὰς δίκας δικαίως δικάζουσα, τὰς δεήσεις ταχέως ἀκροωμένη, τὰς δικαίας αἰτήσεις ἐκπληροῦσα, τὰς ποινὰς μετ' εὐσπλαγχνίας ἐπιτιθεῖσα, οἰκτείρουσα τοὺς πένητας καὶ ἐνδεεῖς. Ἔζη δὲ βίον σώφρονα, διαμείνασα ἐν χηρείᾳ· καὶ πάντα τὰ ἔργα αὐτῆς, εἰ καὶ ἐν εἰδωλολατρικῇ θρησκείᾳ γινόμενα ἐγένοντο τῷ Θεῷ ἀρεστὰ καὶ ἄξια τῆς χριστιανικῆς χάριτος. Ἐνήλικι δὲ γενομένῳ τῷ υἱῷ αὐτῆς, παρέδωκε τὴν διοίκησιν ἁπάσης τῆς ἡγεμονίας· αὕτη δ' ἀπαλλαγεῖσα πάσης τύρβης, ἔζη ἐν εἰρήνῃ εὐεργετοῦσα.

Ὅτε δ' ἤγγικε τὸ πλήρωμα τοῦ χρόνου, καθ' ὃν ὁ πανάγαθος Θεὸς ηὐδόκησεν ἀριδηλότερον καταστῆσαι τὸ φῶς τῆς εἰς Χριστὸν πίστεως καὶ καθοδηγῆσαι τοὺς Ρώσσους εἰς τελειοτέραν ἐπίγνωσιν τῆς ἀληθείας, τέως ἐν πενιχροῖς ναοῖς ὑποφῶσκον καὶ ὀλίγους τούτων φωτίζον, ἐξελέξατο τὴν ἡμετέραν Ἁγίαν Ὄλγαν, διότι ταύτην, ὡς ἔοικεν, εὗρε σκεῦος τῆς χάριτος ἐκλεκτόν. Ἐν Κιαίβῳ ὁμολογουμένως πρὸ πολλοῦ καὶ χριστιανοὶ καὶ ἱερεῖς τοῦ Ὑψίστου καὶ ναοὶ ὑπῆρχον ἐν οἷς ἐκηρύττετο εἷς Θεὸς ποιητὴς οὐρανοῦ καὶ πάσης κτίσεως ἐν τρισὶν ὑποστάσεσιν ὑμνούμενος, καὶ ὁ Υἱὸς καὶ Λόγος αὐτοῦ ἀνυμνεῖτο ὡς κατελθὼν ἐξ οὐρανοῦ εἰς τὴν γῆν καὶ σαρκωθεὶς διὰ τῆς παντοδυνάμου τοῦ Ἁγίου Πνεύματος συνεργείας ἐκ τῶν παναχράντων αἱμάτων Μαρίας τῆς Παρθένου, ὅπως σώσῃ τὸν



κόσμον ἀπὸ τῆς ἁμαρτίας, καὶ καταλλάξῃ τὸν ἄν-
θρωπον πρὸς τὸν Θεόν. Ἐκεῖ ἐδιδάσκοντο ἅπαντα
ἐν γένει τοῦ Συμβόλου τῆς πίστεως τῶν χριστια-
νῶν τὰ ἄρθρα. Αὕτη οὖν ἡ διδασκαλία ἠνέωξε
τοὺς ὀφθαλμοὺς τῆς διηνθισμένης ταῖς ἀρεταῖς καὶ
πεφωτισμένης τῷ λογισμῷ Ἡγεμονίδος, ἥτις, κατα-
νοήσασα τῆς εἰδωλολατρικῆς δυσσεβείας τὴν πλά-
νην, ἐπόθησεν ἵνα λουσθῇ τὸ σωτήριον λοῦσμα καὶ
καθαρθῇ ἀπὸ τῶν τῆς εἰδωλολατρείας βδελυκτῶν
ῥύπων. Πρὸς ἀκριβεστέραν δὲ γνῶσιν τοῦ ἀληθι-
νοῦ Θεοῦ, ἀπέρχεται τῷ 957 ἡ μακαρία εἰς τὸν τῆς
Οἰκουμένης τῷόντι κόσμον, τὴν Κων)πολιν. παραλα-
βοῦσα ἱερέα τινα Γρηγόριον ὀνόματι, ἑκκαίδεκα
τῶν ἐπισημοτέρων συγγενῶν, εἴκοσιν ἐκ τῶν εὐ-
γενῶν καὶ ὀκτωκαίδεκα θεραπαίνας. Προσορμισθεῖ-
σα δ' εἰς τὸν λιμένα τῆς πόλεως ταύτης, ἔπεμψε
πρεσβευτὴν πρὸς τὸν Αὐτοκράτορα, ἀναγγέλλουσα
ὅτι ἔρχεται ζητοῦσα τὸ φῶς τῆς ἀληθείας, καί τοι
περὶ τὸ τέρμα τοῦ βίου καὶ ἐφιεμένη βα-
πτισθῆναι εἰς Χριστὸν χερσὶ τοῦ Πατριάρχου
καὶ τοῦ Αὐτοκράτορος, ὅπως ἄφεσιν τῶν ἁμαρ-
τιῶν λαβοῦσα, τελευτήσῃ ἐν τῷ φωτὶ τῆς λατρεί-
ας τοῦ Θεοῦ τῶν ἰσχυρῶν δεσποτῶν τῆς βασι-
λίδος τῶν πόλεων, καὶ συνάψῃ μετ' αὐτῶν τὴν
ἐν Χριστῷ ἀδελφικὴν ἀγάπην. Τότε ὁ Αὐτοκράτωρ
Κωνσταντῖνος ὁ Πορφυρογέννητος μετὰ χαρᾶς ὑπε-
δέξατο τὸ μήνυμα τοῦτο, καὶ ὑποδοχὴν μάλιστα με-
γάλην αὐτῇ παρεσκεύασεν.

Διατρίβουσα οὖν ἡ Ὄλγα ἐν Κ)πόλει, ἐκατηχεῖτο
παρ' αὐτοῦ τοῦ Πατριάρχου Πολυεύκτου, καὶ καθ' ἑ-
κάστην ἐγκύπτουσα εἰς τὴν ἐκκλησιαστικὴν διάταξιν
καὶ καλλονὴν τῆς χριστ. πίστεως, οὕτως ἐθερμαί-
νετο τὴν καρδίαν ὑπὸ τῆς πρὸς Θεὸν ἀγάπης, ὥστε

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ

ἐπίστευσεν εἰς αὐτὸν ἀδιστάκτως καὶ ἐβαπτίσθη, ἀναδόχου γενομένου αὐτοῦ τοῦ Βασιλέως, τὸν δὲ φωτισμὸν τελέσαντος τοῦ Πατριάρχου. Ὁ δὲ ἀνάδοχος ἐκάλεσεν αὐτὴν Ἑλένην, εἴτε τὸ τῆς ἰδίας συζύγου ὄνομα δοὺς αὐτῇ, εἴτε τὸ τῆς Ἁγίας μητρὸς τοῦ μεγάλου καὶ ἰσαποστόλου Κωνσταντίνου. Μετὰ δὲ τὸ βάπτισμα, λειτουργήσας ὁ Πατριάρχης, μετέδωκεν αὐτῇ τῶν ἀχράντων Μυστηρίων, εἰπών. «Εὐλογημένη σὺ εἶ ἐν γυναιξὶ τῶν Ρώσσων, ὡς ἐκλιποῦσα τὸ σκότος καὶ ζητήσασα τὸ ἀληθινὸν φῶς· τὴν πολυθεΐαν τῶν εἰδώλων ἐμίσησας· τὸν μόνον ἀληθινὸν Θεὸν ἠγάπησας, διέφυγες τὸν αἰώνιον θάνατον,ζωὴν ἀθάνατον ἑαυτῇ περιποιησαμένη· ἀπὸ τοῦ νῦν δὲ μακαριοῦσί σε πάντα τῆς Ρωσσίας τὰ τέκνα».Ἐβαπτίσθησαν δὲ μετ' αὐτῆς καὶ πάντες οἱ συνοδεύσαντες ἄνδρες τε καὶ γυναῖκες. Μέλλουσα δ' ἀπελθεῖν τῆς Κ)πόλεως, ἐπορεύθη πρὸς τὸν Πατριάρχην, καὶ ἐξητήσατο ὡς καλὸν ἐφόδιον τὴν παρ' αὐτοῦ εὐλογίαν· αὐτὸς δ' ηὐλόγησεν αὐτὴν ὁλοψύχως. Κεκλιμένην δ' οὕτω ἔχουσα τὴν κεφαλήν, ἤκουσε μετὰ κατανύξεως τὰς περὶ προσευχῆς, νηστείας, ἐγκρατείας, ἐλεημοσύνης καὶ πάσης ἄλλης χριστ. ἀρετῆς πατριαρχικὰς διδασκαλίας καὶ παραινέσεις. Ἔλαβε δὲ παρὰ τοῦ Πατριάρχου τίμιον Σταυρόν, Ἁγίας εἰκόνας, ἐκκλησ. βιβλία, ψάλτας, καὶ πάντα τὰ ἱερὰ σκεύη. Αὕτη δ' εἰς δεῖγμα σεβασμοῦ προσήνεγκεν αὐτῷ χρυσοῦν δίσκον φέροντα τὴν εἰκόνα τοῦ Σωτῆρος ἐπὶ πολυτίμου λίθου. Κατὰ δὲ τὴν ἀναχώρησιν αὐτῆς ἐκ τῆς Κ)πόλεως, ὁ Αὐτοκράτωρ προέπεμψεν αὐτὴν μετὰ πολυτελῶν δώρων, ἀποκαλέσας θυγατέρα.

Ἐπανελθοῦσα δὲ εἰς Κίαιβον,διετήρει πιστῶς τὰς δοθείσας παρὰ τοῦ Πατριάρχου παραινέσεις, καὶ



πάσῃ δυνάμει ἐσπούδαζεν ἵνα φωτίσῃ διὰ τοῦ ἀληθινοῦ τῆς εἰς Χριστὸν πίστεως φωτὸς τοὺς ἐν τῷ σκότει καθημένους Ρώσσους. Ὅθεν πρῶτον ἔκτισε ναὸν πρὸς τιμὴν τοῦ Ἁγίου Νικολάου, καὶ πολλοὺς ἐκ τῶν Κιαιβιτῶν ἐπανήγαγεν εἰς τὴν ἀληθινὴν θρησκείαν. Ἐπεχείρησε δὲ καὶ τὸν υἱὸν αὐτῆς Συατοσλάβον προσαγαγεῖν εἰς τὴν ἐπίγνωσιν τοῦ ἀληθινοῦ Θεοῦ· ἀλλ' οὗτος διάγων ἐν στρατοπέδοις, οὐδόλως ἐπείθετο εἰς τὰς τῆς μητρὸς νουθεσίας. Ἐμμένων ὅμως τῇ εἰδωλολατρείᾳ, οὐκ ἐκώλυε τοὺς βουλομένους βαπτισθῆναι· καὶ προσήρχοντο πολλοὶ ἔκ τε τῶν ἀρχόντων καὶ τοῦ λαοῦ εἰς Χριστόν. Ἀπῆλθε δ' ἡ θεόφρων Ὄλγα καὶ εἰς ἄλλας πόλεις τῆς Ρωσσίας, καὶ συνέτριβε πανταχοῦ τὰ εἴδωλα, καὶ τὸν λαὸν προσῆγεν εἰς τὴν τοῦ Χριστοῦ λατρείαν, καὶ ἵστη πανταχοῦ τιμίους σταυρούς, ἐξ ὧν ἔπειτα πολλὰ σημεῖα καὶ θαύματα ἐγένοντο πρὸς βεβαίωσιν τῶν ἀπίστων. Πορευθεῖσα δὲ καὶ εἰς Πλεσκοβίαν (τῷ 955) πρὸς ἐπίσκεψιν τῶν οἰκείων, ἐκήρυξε τὸν Χριστιανισμὸν πρός τε αὐτοὺς καὶ τὸν λαόν. Ἐκεῖ ἐθεάσατο τρεῖς φωτὸς ἀκτῖνας καθηκούσας οὐρανόθεν πρὸς τὰ μέρη τῆς Πλεσκοβίας· καὶ τὸ φῶς τοῦτο ἐθεάσαντο πάντες οἱ μετ' αὐτῆς. Στραφεῖσα δὲ πρὸς τοὺς μεγιστᾶνας «Ἔστω ὑμῖν γνωστὸν, εἶπεν, ὅτι τῇ τοῦ Θεοῦ εὐδοκίᾳ ἐν τούτῳ τῷ τόπῳ τῷ φωτιζομένῳ διὰ τριλαμποῦς φωτὸς ἐγερθήσεται ναὸς τῆς Ἁγίας Τριάδος,καὶ πόλις μεγάλη καὶ ἔνδοξος καθιδρυθήσεται.» Προσευξαμένη δ' ἵδρυσε σταυρόν. Ἐπανελθοῦσα δ' εἰς Κίαιβον, ἔπεμψε χρυσὸν καὶ ἄργυρον πρὸς οἰκοδομὴν τοῦ ναοῦ τῆς Ἁγίας Τριάδος. Οἱ δὲ κάτοικοι τῆς Πλεσκοβίας ἐπὶ πολὺν χρόνον διετήρουν ὡς κειμήλιον τὸ ἔλκυθρον τῆς

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ

Ἁγίας Ὄλγας. Διατελοῦσα δ' ἐν Κιαίβῳ, ἐπεστάτει τῶν ἐγγόνων αὐτῆς, διδάσκουσα τούτους τὴν χριστ. πίστιν· οὐκ ἐβάπτισεν ὅμως αὐτούς, μή τι κακὸν πράξῃ ὁ υἱὸς αὐτῆς, ὅστις ἀείποτε κατεγίνετο εἰς πολέμους. Οὗτος καθυποτάξας ποτε τοὺς Βουλγάρους, ἐνετρύφα ἐν τῇ Πραισλάβᾳ πρωτευούσῃ τῆς Βουλγαρίας. Τότε δ' οἱ Πατσινάκαι ὁρμήσαντες ἐπὶ τὴν Ρωσσίαν, ἐπολιόρκησαν τὸ Κίαιβον ἐν ᾧ ἦν ἡ Ὄλγα μετὰ τῶν ἐγγόνων αὐτῆς. Αὕτη δ' ἱλάσκετο τὸν Θεὸν ὑπὲρ τῆς σωτηρίας τῆς πόλεως· ὁ δὲ Θεὸς ἐπακούσας τῶν θερμῶν αὐτῆς δεήσεων, ἀπήλλαξε τὴν πόλιν τῶν πολεμίων τούτων. Οὕτω δὲ διασωθέντες οἱ Κιαιβῖται, ἔπεμψαν ταχυδρόμον πρὸς τὸν ἐν Πραισλάβᾳ διάγοντα ἡγεμόνα ὀνειδίζοντες αὐτὸν διὰ τὴν ἀμέλειαν τῆς ἰδίας πατρίδος. Οὗτος δὲ τότ' ἐπανελθών, ἠσπάσατο τὴν μητέρα νοσοῦσαν καὶ τὰ τέκνα ἔμπλεως χαρᾶς ἐπὶ τῇ σωτηρίᾳ αὐτῶν. Ἀλλ' ὅμως ἐνθυμούμενος τὰς τρυφὰς καὶ τὸν πλοῦτον τῆς Πραισλάβας, ἐδήλωσε τῇ μητρὶ αὐτοῦ ὅτι πάλιν ἀπελεύσεται ἐκεῖσε. Ἡ δὲ δακρύσασα εἶπε πρὸς αὐτόν. «Διατὶ ἐγκαταλείπεις με; τὰ ξένα ζητῶν, τίνι τὰ ἴδια ἐγχειρίσεις; Τὰ τεκνία σου ἀνήλικά εἰσι· ἐγὼ δὲ προβεβηκυῖα τὴν ἡλικίαν καὶ ἀσθενής, ἀπεκδέχομαι τὸν θάνατον, καὶ τὴν εἰς Χριστὸν ποθῶ ἀπέλευσίν μου, εἰς ὃν πιστεύω· περὶ οὐδενὸς ἄλλου ἤδη μεριμνῶ· λυποῦμαι δ' ὅτι μετὰ τὰς πολλάς μου προτροπὰς πρὸς ἐπίγνωσιν τοῦ ἀληθοῦς Θεοῦ, σὺ ἠμέλησας τούτου· γινώσκω γὰρ καλῶς ὅτι τοῖς ἀπίστοις ἠνέῳκται αἰώνιος κόλασις. Νῦν δὲ τοὐλάχιστον ἐκτέλεσον τὴν τελευταίαν μου παράκλησιν. Μεῖνον μέχρι τοῦ ἐγγίζοντος θανάτου μου. Κατὰ δὲ τὴν ἀποβίωσιν οἱ πρεσβύτεροι μετὰ τῶν κληρικῶν ἐνταφιασάτωσαν



τὸ σῶμά μου ὡς εἴθισται τοῖς χριστιανοῖς. Λόφος δ' ἐπὶ τοῦ τάφου μὴ ἀνεγερθήτω, μηδὲ Τριήμερον (Τρίζνα, Tournoi=ἐθνικοὶ ἀγῶνες) γενέσθω. Πέμψον δὲ χρυσίον πρὸς τὸν τῆς Βασιλευούσης Πατριάρχην, ἵνα διανείμῃ τοῖς πτωχοῖς ἐπαρκεῖς ἐλεημοσύνας, καὶ δεήσεις ποιήσηται πρὸς Θεὸν ὑπὲρ τῆς ψυχῆς μου.» Οὗτοι τῆς μακαρίας Ὄλγας οἱ λόγοι οὐ μόνον ἦσαν εὐσεβεστάτης μητρικῆς φιλοστοργίας κατανυκτική τις μελῳδία, ἀλλὰ καὶ προφητικοί. Μετὰ γὰρ τρεῖς ἡμέρας αἰσθομένη τὸν ἠγγικότα θάνατον, μετέσχε τῶν ἀχράντων Μυστηρίων, καὶ οὕτως ἐν εἰρήνῃ ἐκοιμήθη τὸν μακάριον καὶ αἰώνιον ὕπνον. Ἡ δὲ τιμία αὐτῆς ψυχὴ ἀπολυθεῖσα ἀπὸ τῶν τοῦ σώματος δεσμῶν, ἀπέπτη εἰς τὰς ἀκηράτους μονὰς τοῦ Παμβασιλέως Χριστοῦ. Πρώτη οὖν αὕτη ἐκ τῆς τῶν εὐσεβεστάτων Ρώσσων χώρας χοροστατεῖ ἐν τῷ τῶν Ἁγίων χορῷ, καὶ δικαίως τῷ Ἡλίῳ ἐξισοῦται, ὡς τὰ τῶν Ρώσσων φῦλα τῷ φωτὶ τῆς εἰς Χριστὸν ὀρθοδόξου πίστεως καταυγάσασα. Ἐτελειώθη δὲ κατὰ τὴν 11ην ταύτην τοῦ Ἰουλίου μηνὸς τοῦ 969 σωτηρίου ἔτους, ζήσασα ἐνενήκοντα περίπου ἔτη. Καὶ ἔκλαυσαν αὐτὴν ὅτε υἱὸς καὶ οἱ ἔγγονοι καὶ οἱ ἄρχοντες καὶ ἅπας ὁ λαός. Τὸ δὲ ἱερὸν λείψανον ἐκήδευσαν προσηκόντως οἱ ἱερεῖς τοῦ Ὑψίστου. Αὕτη δὲ ἐγένετο ὁ ὁδηγὸς καὶ οὕτως εἰπεῖν ὁ πρόδρομος τοῦ ἐνδόξου αὐτῆς ἐγγόνου Βλαδιμήρου, ὅστις μετ' οὐ πολὺ βαπτισθεὶς καὶ μετονομασθεὶς Βασίλειος, συνεπλήρωσε τὸ ἔργον αὐτῆς, ἅπαν τὸ ἀχανὲς Ρωσσικὸν κράτος φωτίσας διὰ τῆς Ὀρθοδόξουτοῦ Χρισοῦ πίστεως. Οὗτος ἀνεγείρας (τῷ 996) ἐκ βάθρων τὴν πρώτην λιθόκτιστον ἐκκλησίαν ἐν Ρωσσίᾳ ἐπ' ὀνόματι τῆς Ὑπεραγίας Θεοτόκου, καὶ μετὰ τοῦ Ἕλληνος Μητρο-

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ

πολίτου τοῦ Κιαίβου Λεοντίου τὰ νενομισμένα τελέσας, ἐποιήσατο τὴν ἀνακομιδὴν τῶν τιμίων λειψάνων τῆς Μάμμης αὐτοῦ, ἅπερ ἀκέραια καὶ ἄφθαρτα εὑρεθέντα καὶ πολλὴν τὴν εὐωδίαν ἀποπέμποντα, μετεκόμισε μετὰ μεγάλης τιμῆς εἰς τὸν ναόν, καὶ ἀπέθετο αὐτά, ἵνα ὦσι καταφανῆ πᾶσι τοῖς μετὰ πίστεως προσερχομένοις, πολλὰς νοσημάτων χρονίων καὶ ἀνηκέστων ἰάσεις παρεχόμενα, εἰς δόξαν Κυρίου τοῦ θαυμαστοῦντος τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ. Ἔκτοτε δὲ πολλαχοῦ τῆς Ρωσσίας ναοὶ ἐπ' ὀνόματι τῆς Ἁγίας Ὄλγας ἀνηγέρθησαν· καὶ διατελεῖ ἐν αὐτοῖς ἀνευφημουμένη ὑμνολογίαις ἐνθέοις, τῶν τε ἄλλων θεοποιῶν ἀρετῶν ἕνεκα, καὶ τοῦ ζήλου τοῦ πρὸς διάδοσιν τοῦ χριστιανισμοῦ καὶ προπαρασκευὴν τοῦ θριάμβου τῆς ἀληθινῆς θρησκείας ἐν τῇ εὐσεβεστάτῃ Ρωσσίᾳ.

Περὶ δὲ τῆς τοῦ ἐθνικοῦ ὀνόματος αὐτῆς διατηρήσεως, ἀρχαῖον οὐδ' ἀηθεστὴ Ἐκκλησίᾳ φαίνεται τοῦτο. Οὕτως ἡ ἐκ Περσίδος μάρτυς Γολινδοὺχ, ἐξ ἐπισήμου οἴκου καταγομένη, προσελθοῦσα εἰς τὴν Ὀρθοδοξίαν καὶ Μαρία μετονομασθεῖσα, διετήρησε τὸ ἐθνικὸν ὄνομα καὶ μετὰ τὴν τελευτήν. Ὅθεν ἐν τῷ Μηναίῳ (Ἰουλίου 13) ἀπαντᾷ, «Μνήμη τῆς ἁγίας Μάρτυρος (οὐχὶ Μαρίας, ἀλλὰ) Γολινδούχ». Καὶ αὐτὸς δ' οὗτος ὁ ἔνδοξος ἔγγονος τῆς Ἁγίας Ὄλγας Βλαδιμῆρος εἶνε γνωστὸς ἐν τῇ Ἐκκλησίᾳ οὐχὶ ὑπὸ τὸ ὄνομα Βασίλειος ὃ κατὰ τὸ φώτισμα ἔλαβεν, ἀλλ' ὑπὸ τὸ πρῶτον καὶ ἀρχικόν. Οὕτω καὶ ἡ ἡμετέρα Ἁγία δὲν εἶνε γνωστὴ ἐν αὐτῇ ὑπὸ τὸ ὄνομα Ἑλένη, ὃ κατὰ τὸ βάπτισμα ὡς προείπομεν, ἔδωκεν αὐτῇ ὁ Αὐτοκράτωρ τῆς Κωνσταντινουπόλεως, ἀλλὰ κυριωνυμεῖται διὰ τοῦ ἀρχικοῦ καὶ ἐθνικοῦ ὀνόματος Ὄλγα, δι' οὗ καὶ παρ' ἡμῖν



τοῖς Ἕλλησιν εἶνε γνωστή, οἵτινες δικαίως τιμῶμεν καὶ γεραίρομεν τὴν ἔνδοξον αὐτῆς μνήμην καὶ τὴν ἰσχυρὰν αὐτῆς ἐπικουρίαν ἐξαιτούμεθα, ἵνα διηνεκῶς πρεσβεύῃ ὑπὲρ τῆς θείῳ ἐλέει πρώτης Ὀρθοδόξου καὶ ὁμωνύμου αὐτῇ Βασιλίσσης ἡμῶν Ὄλγας, καὶ ὑπὲρ τῶν ἤδη ἐν τῇ Ἄπω Ἀνατολῇ ἀγωνιζομένων ἀδελφῶν ἡμῶν καὶ ὁμοδόξων, ὁμοεθνῶν δὲ τῆς Ἁγίας εὐσεβεστάτων Ρώσσων. Ἀμήν!

**Τῇ αὐτῇ ἡμέρᾳ· Μνήμη τῆς Ἁγίας Μεγαλομάρτυρος καὶ Πανευφήμου Εὐφημίας.**

Στίχοι

» Δίκαζε Μάρτυς τοὺς ὅρους, καὶ κειμένη
» Κυροῦσα πίστιν, ἧς ἐνήθλησας πόθῳ.

(Περὶ ταύτης ὅρα εἰς τὸ Μηναῖον).

**Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.**

---

**Ὠδὴ ς΄.** **«Παῖδες Ἑβραίων.»**

Παῖδες Ρωσσίας ἀνυμνοῦσι, σὲ Βασίλισσα, ὡς ταύτην ἐκ τοῦ σκότους, καὶ τῆς πλάνης σοφῇ, σοφῶς ἐξαγαγοῦσα· Εὐλογητὸς ὁ Κύριος, βοῶντες εὐγνωμόνως.

Ρώσσων ὑπάρχεις ὦ Αὐγοῦστα, σεμνὸν καύχημα, καὶ πάντων τῶν ὑμνούντων,

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ

τὴν σὴν μνήμην τρανῶς· πρεσβεύεις γὰρ Κυρίῳ, ὡς παρρησίαν ἔχουσα, πρὸς τοῦτον Ὄλγα Μῆτερ.

Σῶζε Βασίλισσα εὐχαῖς σου, Ὀρθοδόξους τε καὶ πάντας τοὺς ἐκ πόθου, τὴν σεπτὴν ἑορτήν, τὴν σὴν ἀνευφημοῦντας, καὶ πίστει ἀνακράζοντες, εὐσεβῶν ὑπάρχεις κλέος.

**Θεοτοκίον.**

Ἄγγελοι πάντες σὺν ἀνθρώποις, τὸ μυστήριον, Παρθένε ἐξυμνοῦσι· πῶς τὸν Λόγον Θεοῦ, ἐβάστασας ἐν μήτρᾳ, τῇ σῇ ἀειμακάριστε, θαυμαστῶς καὶ ὑπὲρ λόγον!

**Καταβασία. «Οὐκ' ἐλάτρευσαν».**

**Ὠδὴ η'. «Τὸν Βασιλέα τῶν Οὐρανῶν».**

Τὸν Βασιλέα τῶν Οὐρανῶν μὴ ἐλλείπῃς, ὑπὲρ πάντων πρεσβεύειν Ἁγία, τῶν ἀνευφημούντων, σέ Ὄλγα εἰς αἰῶνας.

Ὑπὲρ ὑγείας τῶν σὲ πιστῶς ἀνυμνούντων, τῷ Δεσπότῃ Αὐγούστα μὴ παύσῃ, μετὰ τῆς Παρθένου, πρεσβεύειν εἰς αἰῶνας.



Φιλοστοργίας μοναδικῆς δεῖγμα μέγα, ὦ Βασίλισσα ἔδωκας Ὄλγα· τοὺς γὰρ σοὺς ἐγγόνους ἀνέθρεψας ἐν πίστει.

**Θεοτοκίον.**

Οὐ σιωπήσωμεν θαυμαστῶς οἱ σοὶ δοῦλοι, Θεοτόκον σὲ κηρύττοντες Κόρη, καὶ ὑπερυψοῦντες εἰς πάντας τοὺς αἰῶνας.

**Καταβασία. «Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ».**

**Ὠδὴ θ.' «Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός».**

Χαρᾶς καὶ εὐφροσύνης πνευματικῆς, ἡ σὴ μνήμη πληροῖ τοὺς ὑμνοῦντάς σε, ὅτι τρανῶς, Ὄλγα ὡς Σωτῆρά τε καὶ Θεόν, τὸν Ἰησοῦν ἐκήρυξας, μετὰ παρρησίας Μῆτερ πολλῆς, ἐν τῇ σῇ χώρᾳ ὅθεν, Ἀπόστολος ἐδείχθης, ὡς Κωνσταντῖνος ὁ μακάριος.

Ψαλμοῖς τε καὶ ἐν ὕμνοις τὴν ἑορτήν, τὴν σὴν Ὄλγα τιμᾷ τὰ συστήματα, καὶ ἐν ᾠδαῖς, πάντων Ὀρθοδόξων πνευματικαῖς, καὶ τὴν πρεσβείαν ἔνδοξε, πρὸς τὸν Βασιλέα τῶν Οὐρανῶν, ἐπιζητεῖ Αὐγούστα, πανεύφημε βοῶντα, χαῖρε Ρωσσίας κλέος μέγιστον.

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ

Ω Μῆτερ! σοὶ προσάγω ὁ ἐνδεής, τὸ παρόν ὦ Βασίλισσα πόνημα, ὁμολογῶν, ὅτι ὄντως τοῦτο μικρὸν ἐστί· πλὴν μὴ παρίδῃς δέομαι, τὸν τὴν πολιτείαν σου τὴν λαμπρὰν, θεόστεπτε Αὐγούστα, ὑμνήσαντα ἐν τούτῳ, μετὰ πολλοῦ πόθου καὶ πίστεως.

**Θεοτοκίον**

Ὑπάρχεις ἀσυγκρίτως τῶν Σεραφείμ, ἀνωτέρα Παρθένε Θεόνυμφε, καὶ ἁπασῶν τῶν Ἐπουρανίων Ἐξουσιῶν, τιμιωτέρα Δέσποινα καὶ ὑψηλοτέρα τῶν Οὐρανῶν. Διὸ σε Θεοτόκε, αἱ γενεαὶ ὡς ἔφης, μακαρίουσι Κόρη ἅπασαι.

**Καταβασία. «Ἅπας γηγενής»**

**Μετὰ δὲ τὴν Ἐκφώνησιν**

**Ἐξαποστειλάριον. «Ἀπόστολοι ἐκ περάτων»**

Ἀπόστολος ὤφθης Ὄλγα, τῆς τοῦ Χριστοῦ Ἐκκλησίας· τῶν γὰρ εἰδώλων τὴν πλάνην, κατέπνιξας θαυμασίως, καὶ τὴν ἀλήθειαν Μῆτερ, εἰσήγαγες ἐν Ῥωσσίᾳ. (ἐκ β.')

**Θεοτοκίον.**



Ὁ γλυκασμὸς τῶν Ἀγγέλων κτλ.

**Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους 4, καὶ ψάλλομεν στιχηρὰ προσόμοια τὰ ἑξῆς.**

**Ἦχος α'. «Τῶν Οὐρανίων Ταγμάτων.»**

Πρέσβευε πάντοτε Μῆτερ, ὑπὲρ τῶν δούλων σου, τῷ τῶν Βασιλευόντων, Βασιλεῖ καὶ Δεσπότῃ, Βασίλισσα θεόφρων ὄντως γὰρ νῦν, εἰς τὰ ἄνω Βασίλεια, συμβασιλεύεις Αὐγούστα βασιλικῶς, σὺν Ἀγγέλοις καὶ δικαίοις τε.

Ἔνδοξον βλάστημα Ὄλγα, ἐκ σοῦ πανεύφημε, ἐξῆλθε θαυμασίως, ὁ σὸς ἔγγονος Μῆτερ, Βλαδίμηρος ὁ θεῖος ὃν οἱ πιστοὶ, μετὰ σοῦ ἑορτάζουσιν, ὅτι Ῥωσσίας ἐδείχθητε νοητῶς, πύργοι ὄντως ἀδιάσειστοι.

Λαμπρὸν ἐφόδιον Μῆτερ, ὄντως ἐζήτησας, παρὰ τοῦ Πατριάρχου, μετὰ τὸν φωτισμόν σου, τὴν τούτου εὐλογίαν ἣν εὐλαβῶς, καὶ λαβοῦσα Βασίλισσα, εἰς τὴν πατρίδα ἀπῆλθες τὴν σὴν σοφή, τὸν Χριστὸν Θεὸν κηρύττουσα.

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ

Τοῦ σοῦ ἐνδόξου ἐγγόνου, Ἄνασσα γέγονας, τοῦ θείου Βλαδιμήρου, ὁδηγὸς ὄντως Ὄλγα· ἢ μᾶλλον ὤφθης τούτου Μῆτερ σοφή, ἀληθῶς ἄλλος πρόδρομος· μεθ' οὗ πρεσβεύειν μὴ παύσῃ ἐν Οὐρανῷ, ὑπὲρ πάντων ἀξιάγαστε.

**Δόξα. Ἦχος πλ. β.'**

Ἑορτὴ πανσεβάσμιος, τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ ἐπέλαμψε σήμερον, ἡ μνήμη τῆς Ἰσαποστόλου καὶ Μητρὸς ἡμῶν Ὄλγας. Διὸ μυστικῶς εὐφραινόμενοι, ἐν ἀγαλλιάσει βοήσωμεν. Δόξα σοι Χριστέ, τῷ τὸ φῶς ἡμῖν δείξαντι· πάντας γὰρ θέλεις σωθῆναι, καὶ εἰς τελείαν ἐπίγνωσιν, ἀληθείας ἐλθεῖν. Τοῦτο γὰρ τρανῶς, καὶ ἐν Ρώσσοις κατέδειξας, ἐγείρας ἐν αὐτοῖς τὴν ἀοίδιμον Ἄνασσαν· δι' ἧς τῆς πλάνης ρυσθέντες, αἶνον προσάγουσι, τῇ εὐδοκίᾳ σου Κύριε.

**Καὶ νῦν. Θεοτοκίον.**

**Δέσποινα πρόσδεξαι.**

**Δοξολογία Μεγάλη, τὸ Ἀπολυτίκιον τῆς Ἁγίας, ἡ Ἐκτενής, τὸ «Πληρώσωμεν τὴν ἑωθινήν...» κτλ. καὶ Ἀπόλυσις.**



ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

**Τὰ Τυπικά. Εἰς δὲ τοὺς Μακαρισμοὺς 4 τροπάρια ἐκ τῆς γ.' Ὠδῆς τοῦ Κανόνος τῆς Ἁγίας** (δευτερεύοντες τὸ α'), **καὶ 4 ἐκ τῆς ϛ.'**

ΑΠΟΣΤΟΛΟΣ

**Προκείμενον. Ἦχος δ.'**

**Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.**

Στίχ. **Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.**

**Πρὸς Γαλάτας**

**ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.** (κεφ. γ' 23.)

**Ἀδελφοί, πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμον ἐφρουρούμεθα κτλ.**

**(Ζήτει αὐτὸν τῇ Πέμπτῃ τῆς ιε.' ἑβδομάδος).**

ΕΥΑΓΓΕΛΙΟΝ

**Ἐκ τοῦ κατὰ Ματθαῖον** (κεφ. ιβ'. 38—46)

**Τῷ καιρῷ ἐκείνῳ, προσῆλθον τῷ Ἰησοῦ Γραμματεῖς καὶ Φαρισαῖοι λέγοντες κτλ.**

**(Ζήτει τῇ Τετάρτῃ τῆς ε.' ἑβδομάδος τοῦ Ματθαίου).**

**Κοινωνικόν. «Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῆς....»**

**Εἰς τὰ Δίπτυχα, ψάλλομεν τὸ ἑπόμενον Μεγαλυνάριον.**

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ

Ι

## ΜΕΓΑΛΥΝΑΡΙΟΝ

**Πρὸς τιμὴν τῆς Ἁγίας καὶ Ἰσαποστόλου**

**ΟΛΓΑΣ**

Χαίροις τῆς Ρωσσίας ἡ χαρμονή, χαίροις Ὀρθοδόξων, ὄντως Ὄλγα ἡ καλλονή· χαίροις Ἐκκλησίας, τὸ καύχημα τὸ μέγα, Βασιλισσῶν τὸ κλέος, Αὐγούστα ἔνδοξε.

## ΕΤΕΡΟΝ

**Ὑπὲρ τῆς Α. Μ. τῆς ὁμωνύμου τῇ Ἁγίᾳ Εὐσεβεστάτης τῶν Ἑλλήνων Ἀνάσσης**

**ΟΛΓΑΣ**

Σὲ καθικευτεύει πανευλαβῶς, καὶ πᾶσα καρδία, Μῆτερ Ὄλγα Ἑλληνική· πρέσβευε Κυρίῳ, ὑπὲρ τῆς ἡμετέρας, Σεπτῆς ὄντως Ἀνάσσης, καὶ Φιλοχρίστου τε.

**ΤΕΛΟΣ**

τῆς Ἀκολουθίας τῆς Ἁγίας Ὄλγας

Καὶ τῷ ἐν Τριάδι Θεῷ δόξα!



# ΤΑ ΟΝΟΜΑΤΑ ΤΩΝ Κ. Κ. ΣΥΝΔΡΟΜΗΤΩΝ

## ΖΑΚΥΝΘΟΥ

| | |
|---|---|
| Δωρόθεος Ἱερομόν. Ζουρμπάνος Σώματα | 4 |
| Ἠλίας Λογοθέτης Ταμίας | 1 |
| Δημ. Κουτούβαλης Πρόξενος τῆς Ρωσσίας | 2 |
| Διον. Ἱερεύς Στρούζας | 1 |
| Πέτρος Ἱερεὺς Κρεκούκης | 1 |
| Γεώργ. Παπαζαφειρόπουλος Ἰατρὸς | 1 |
| Ἰγνάτιος Κανδιάνος Ἱερεύς | 1 |
| Δημ. Γράμψας Ἱερεύς | 1 |
| Γεώργ. Σκλήβας Ἱερεύς | 1 |
| Διον. Κλαμπάνης Ἱερεύς | 1 |
| Μιχ. Ἱερεύς Κουτουλογένης | 1 |
| Ἀντ. Κλαμπάνης Ἱεροδ. | 1 |
| Σ. Καλογερόπουλος | 1 |
| Σ. Ι. Ἀρβανιτάκης | 1 |
| Δ. Α. Τριβιζᾶς | 1 |
| Μιχαὴλ Κακολύρης | 1 |
| Ἀντώνιος Παπαδάτος | 1 |
| Χαρ. Τρούσας | 1 |
| Διον. Κυβετὸς | 1 |
| Σπυρ. Συναδινὸς | 1 |
| Κωνστ. Ἱερ. Πραβῆς | 1 |
| Ἰωάν. Ἱερεὺς Γιαντόπουλος | 1 |
| Ἀντών. Ἱερεύς Βλαχιώτης | 1 |
| Πέτρος Ἱερεὺς Μαρῖνος | 1 |
| Ἀναστ. Μυλωνᾶς δημοδ. | 1 |
| Χ. Ἱερεὺς Χριστόφορος | 1 |
| Ἀναστ. Κωστῆς Μποῦλος | 1 |
| Διον. Ἱερεὺς ὁ Μπονῖκος | 2 |
| Διον. Μανουρᾶς Ἱεροψάλ. | 1 |
| Πέτρος Βρυώνης μαθητής | 1 |
| Ἀναστ. Δ. Κλάδης » | 1 |
| Ἀνδρ. Κορδέλος Ἱερεὺς | 1 |
| Σπυρίδ. Προβῆς δημοδ. | 2 |
| Ὄλγα Π. Μαρούδα | 1 |
| Κύριλλος Ἱερ. Ρένεσης | 1 |
| Δανιὴλ Παπαδάτος Ἱεροδ. | 1 |
| Γαβριὴλ Ἱερ. Σούλης | 1 |
| Ἰγνάτιος Σέλινας Μοναχὸς | 1 |
| Παν. Δερέκας Ἱερεὺς | 1 |
| Χαρ. Ἱερεύς Κορφιάτης | 1 |
| Νεόφυτος Σιναΐτης | 1 |
| Ματθαῖος Ἱερομ. Σιναΐτης | 1 |
| Σταμάτ. Καψάσκης Ἱερεὺς | 1 |
| Γεώργιος Ἱερεὺς Γιακουμέλης M. Σακελλάριος | 1 |
| Ν. Μαρῖνος Ἱεροψάλτης | 1 |
| Διον. Λιβέρης | 1 |
| Γεράσ. Π. Βανδῶρος | 3 |
| Κ. Λεονταράκης | 1 |
| Α. Καλογερόπουλος | 1 |
| Γ. Κ. Ἀνδρεώλας | 1 |

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ

| | | | |
|---|---|---|---|
| Γ. Ἀβούρης | 1 | Διον. Βούλτσος | 1 |
| Νικόλ. Ἱερεὺς Μπισκίνης | 1 | Διον. Τσουκαλᾶς | 1 |
| Παναγ. Πέτας Ἱερεὺς | 1 | Ἀνδρέας Ψάρης | 1 |
| Ἰωάννης Ἱερεὺς Ξένος | 1 | | |
| Ἀντ. Μπισκίνης δημοδ. | 1 | | |
| Διον. Χρυσοσπάθης | 1 | | |

## ΑΘΗΝΩΝ

| | | | |
|---|---|---|---|
| Κυρία Μαρία Μπαουλίνα (Ἀνάκτορα) Σώματα | 10 | Ἠλ. Μανιατόπουλος | 1 |
| Κων. Σαρατσόπουλος Δικηγόρος | 2 | Ἐπαμ. Δασκαλάκης | 1 |
| Δημ. Μ. Βερτέλλης | 1 | Δ. Βαβαρης | 1 |
| Δ. Θ. Παπαϊωαννόπουλος | 1 | Ν. Μεταξᾶς | 1 |
| Διον. Κολοκοτσᾶς | 1 | Δημ. Πολόνης | 1 |
| Περικλῆς Φρειδερῖκος | 1 | Ἠλίας Πετρούλιας | 1 |
| Ι. Σ. Ἰωαννίδης | 2 | Γ. Μαντινειὸς | 1 |
| | | Φίλιππος Ποθητὸς | 1 |

## ΥΔΡΑΣ

| | | | |
|---|---|---|---|
| Γερμανὸς Παπακυριακοῦ Ἡγούμενος Μονῆς Πρ. Ἡλιοῦ | 1 | Ἀντών. Ι. Κοκκίνης | 1 |
| Ἀρσέν. Μουντζούρας Σύμβ. | 1 | Δημ. Ν. Δεμόπουλος | 1 |
| Ἰωάννης Μάνο. | 1 | Παν. Ι. Ζουρντὸς | 1 |
| | | Πέτρος Βουμπήλας | 1 |

| | |
|---|---|
| Διον. Δάφνος Καθηγητὴς τῶν Θρησκευτικῶν ἐν Πειραιεῖ | 1 |
| Ἀρχιμ. Γερμανὸς Βλάχος Μόναχον | 2 |
| Ἱερὰ Μονὴ Γηροκομείου Πατρῶν | 1 |
| Βησσαρίων Κοσκέρης Ἱεροδ. Ἁγ. Νικολάου Πατρῶν | 1 |
| Ἰωάν. Κουτσουβέλης | 1 |



## ΑΝΑΓΚΑΙΑΙ ΕΠΕΞΗΓΗΣΕΙΣ

Αἰτοῦμεν συγγνώμην παρὰ τῶν κ.κ. **συνδρομητῶν** ὧν τὰ ὀνόματα δὲν ἐδημοσιεύθησαν, καθόσον δὲν ἐπεστράφησαν ἡμῖν ἐγκαίρως αἱ Ἀγγελίαι.

Οὐχ ἧττον ἐπιφυλασσόμεθα ὅπως ἀναπληρώσωμεν τὴν ἔλλειψιν ταύτην, ὅταν ἐν καιρῷ δημοσιεύσωμεν ἐν ἰδιαιτέρῳ τεύχει τὸν εἰς τὴν Ἁγίαν ταύτην καὶ Ἰσαπόστολον Ὄλγαν **πανηγυρικὸν λόγον,** ἔργον τῶν ἀσθενῶν ἡμῶν δυνάμεων, ὅστις θὰ ἀποσταλῇ **δωρεὰν** εἰς ἅπαντας τοὺς κ. κ. Συνδρομητὰς τῆς παρούσης Ἀκολουθίας.

— Ὡς παρατηρεῖ ὁ εὐσεβὴς ἀναγνώστης, ὁ ἐν τῇ παρούσῃ Ἀκολουθίᾳ **Βίος** τῆς Ἁγίας Ὄλγας (σελ. 31) ἐλήφθη σχεδὸν κατὰ λέξιν ἐκ τοῦ «Περὶ τῆς Ἁγίας Ὄλγας ὑπομνήματος τοῦ Κ. Σοφοκλέους τοῦ ἐξ Οἰκονόμων», μετά τινων ὅμως ἀναγκαίων προσθαφαιρέσεων.

— Ἐπίσης ἐξ ὅλης τῆς Ἀκολουθίας, μόνον τὸ Ἀπολυτίκιον τῆς Ἁγίας δὲν ἀνήκει εἰς ἡμᾶς, ὅπερ, καθὼς ἐπεγράφη ἐκεῖ (ἐν σελ. 18), εἶνε ἔργον τοῦ Σεβαστοῦ ἡμῖν Διδασκάλου καὶ διαπρεποῦς Ὑφηγητοῦ τῆς Χριστιανικῆς Ἀρχαιολογίας ἐν τῷ Ἐθνικῷ Πανεπιστημίῳ Κυρίου Γεωργίου Λαμπάκη, ἰδιαιτέρου Γραμματέως τῆς Α. Μ. τῆς Βασιλίσσης ἡμῶν.

—Τῶν ἡμαρτημένων ἐν τέλει ἡ διόρθωσις ἀφίεται τοῖς φιλομούσοις ἀναγνώσταις.

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ

## ΑΝΑΓΚΑΙΑΙ ΕΠΕΞΗΓΗΣΕΙΣ

Αἰτοῦμεν συγγνώμην παρὰ τῶν κ.κ. συνδρομητῶν διὰ τὰ ὀλίγα ἄτινα διέλαθον τῆς προσοχῆς τῶν ἐν τῷ τυπογραφείῳ διορθωτῶν ....

Οὐχ ἧττον ἐπιφυλασσόμεθα ἵνα ἐπανορθώσωμεν τὴν ἔλλειψιν ταύτην, ὅταν ἐν καιρῷ δημοσιεύσωμεν ἐν ἰδιαιτέρῳ τεύχει τὸν βίον τῆς Ἁγίας καὶ Ἰσαποστόλου Ὄλγης παραλειφθέντα .... ἕνεκεν τῶν ἀσθενῶν ἡμῶν δυνάμεων, .... στολὴν δωρεὰν εἰς ἅπαντας τοὺς .... τῆς παρούσης Ἀκολουθίας.

— Ὡς παρατηρεῖ ὁ εὐσεβὴς ἀναγνώστης, ὁ ἐν τῇ παρούσῃ Ἀκολουθίᾳ Εἱρμὸς τῆς .... Ὠδῆς (σελ. 31) ἐλήφθη σχεδὸν κατὰ λέξιν ἐκ .... τῆς Ἁγίας Ὄλγας ἐν ἀσματι τοῦ Κ. .... σις τοῦ ἐξ Οἰκονόμων», μετά τινων ὀλίγων .... ων παρορθωθέντων.

— Ἐπίσης ἐλήφθη τῆς Ἀκολουθίας .... Ἀπολυτίκιον τῆς Ἁγίας τὸ ἄσμα εἰς αὐτήν, καθὼς ἐπεγράφη ἐκεῖ (ἐν σελ. 13), .... τοῦ Σεβαστοῦ ἡμῶν Διδασκάλου τοῦ .... Ὑφηγητοῦ τῆς Χριστιανικῆς Ἀρχαιολογίας ἐν Ἐθνικῷ Πανεπιστημίῳ Κυρίου Γεωργίου .... ὕστερον Γραμματέως τῆς Α. Μ. τῆς Βασιλίσσης ἡμῶν.

— Τῶν ἡμαρτημένων ἐν τέλει ἡ διόρθωσις ἀφίεται τοῖς φιλοπόνοις ἀναγνώσταις.

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ
ΣΥΛΛΟΓΗ Π. ΠΑΤΡΙΚΙΟΥ
ΑΛ.Σ2.Φ12.0024